Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: wus-ai

*Σοῦδα* · Suda

# Lexicon, Letter I

## *Σοῦδα, Στοιχεῖον Ι*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

1 Ἴα: μία, ἢ φωνή, ἢ βία.

2 Ἰαβώκ: ὄνομα κύριον.

3 Ἰαβίν· ὡς τό, Ἰαβὶν ἐν τῷ χειμάρρῳ Κισσῶν.

4 Ἰάδμων, Ἰάδμονος. ἦν δὲ Σάμιος· οὗτινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν, ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα καὶ ἐξ αὐτῆς γεννᾷ. καὶ ζήτει ἐν τῷ Αἴσωπος Σάμιος.

5 Ἰαζάρτης: ὁ Τάναϊς ποταμός.

6 Ἰαζύγων: ὄνομα ἔθνους.

7 Ἰάθωνος: ὄνομα κύριον.

8 Ἰακώβ: ὄνομα κύριον.

9 Ἰάειρος: ὄνομα κύριον.

10 Ἰακχάζουσι: λέγουσι, φυλάττουσιν. Ἡρόδοτος.

11 Ἴακχος: ὁ Διόνυσος· ἢ ὕμνος εἰς τὸν Διόνυσον.

12 Ἰάκωβος, Ἡσυχίου υἱὸς ἰατροῦ, ὁ ἐπικληθεὶς Ψύχριστος, ἐκ τοῦ ἐξάρχου Δαμασκηνοῦ. εἰς Ῥόδον δὲ γενομένου τοῦ πατρός, εἶτα εἰς Δρέπανον τὸ ἐν Ἄργει, ἐλθόντος κἀκεῖ γήμαντος τὴν ἐξ αὐτοῦ τεκοῦσαν τὸν Ἰάκωβον, καταλιπόντος δὲ τήν τε γαμετὴν καὶ τὸν παῖδα καὶ ἐκδημήσαντος ἐπὶ ἔτη ιθʹ εἴς τε Ἀλεξάνδρειαν καὶ Ἰταλίαν καὶ οὐδὲ περιεῖναι δοκοῦντος· ὅθεν γαμεῖται μὲν ἡ Ἰακώβου μήτηρ δευτέρῳ ἀνδρί. καὶ παίδων αὐτῇ γενομένων δύο καὶ θηλείας, τελευτᾷ τὸν βίον ὁ γαμήσας αὐτήν. ἐπάνεισι δὲ Ἡσύχιος ἐν Κωνσταντινουπόλει· ὅπερ γνοὺς Ἰάκωβος ἦλθε πρὸς αὐτόν· καὶ τότε παιδείας ἤρξατο καὶ ἰάτρευσεν ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος βασιλέως.

13 Ἰάκωβος, ἰατρός. ἀπὸ Δαμασκοῦ εἷλκε τὸ γένος καὶ ἐς τὸ ἀκριβέστατον ἀναβὰς τῆς ἐπιστήμης τέλειος ἦν, οὐ διαγινώσκων μόνον τὰς νόσους, ἀλλὰ καὶ ἰώμενος, ὁμοῦ μὲν κατὰ τὸν λόγον, ὁμοῦ δὲ κατὰ τὴν πεῖραν, ἐπιμελῶς τε καὶ ἱκανῶς· ὥστε τὰ πρωτεῖα τῆς ἰατρικῆς εὐκλείας ἀπενέγκασθαι τῶν καθ’ ἑαυτὸν ἰατρῶν, παραβάλλεσθαι δὲ ἤδη πρὸς τοὺς ἀρχαίους, ὑπερβάλλειν δὲ αὐτῶν τούς γε πλείους· οἷα δὲ ἔχοντα δύναμιν ἰσόθεον ἀγαπᾶσθαι καὶ προσκυνεῖσθαι ὑπὸ τῶν δεομένων· οὕτω δὲ θαρρεῖν ἐφ’ ἑαυτῷ καὶ ἐπὶ τῇ κρίσει τῶν οἰκείων μεθόδων, ὥστε εἰ ἀπελθὼν πρὸς τὸν ἄρρωστον καὶ τοῖς σημείοις τὸ νόσημα διαγνοὺς

ἀπεφήνατο βιώσιμον εἶναι τὸν ἄνθρωπον, εὐέλπιδας γίνεσθαι πάντας, ὡς ὑγείας ἐσομένης· εἰ δὲ μὴ ὡς τελευτῆς· καὶ μηδένα πώποτε τῶν ἐλπίδων διαψευσθῆναι. ἔλεγε δὲ ὁ αὐτός, χρῆναι τὸν ἄριστον ἰατρὸν ἤτοι ἀπογνῶναι τῆς νόσου ἢ ἁψάμενον εὐθὺς εἰς ῥᾷον μεταβαλεῖν τὸν νοσοῦντα καὶ ἔχοντα μετριώτερον ἀπολείπειν· ἄλλως δὲ μὴ ἀποστῆναι πρότερον. πάντας δὲ ὡς εἰπεῖν ἀπήλλαττε τῶν ἐνοχλούντων παθῶν παραυτίκα ἢ μικρὸν ὕστερον. διόπερ οἱ μὲν ἄλλοι σωτῆρα τὸν Ἰάκωβον ἀπεκάλουν, οἷά ποτε καὶ τὸν Ἀσκληπιόν· οἱ δὲ ἰατροὶ διέβαλλον ἀεὶ καὶ ἐλοιδόρουν, ὡς οἷόν τινα οὐκ ἰατρόν, ἀλλὰ θεοφιλῆ τινα καὶ ἱερόν· καὶ οὐκ ἐψεύδοντο. ἦν γὰρ ἐπιεικὴς ὁ ἀνὴρ καὶ θεῷ τῷ ὄντι κεχαρισμένος. εἰ δὲ δεῖ τὸ τοῦ φιλοσόφου εἰπεῖν, Ἀσκληπιαδικὴν ᾤετο τὴν τοῦ Ἰακώβου ψυχὴν καὶ κατὰ φύσιν Παιώνειον· προσεῖναι δὲ καὶ τὴν ἐρωτικὴν τοῦ ἐπιτηδεύματος ἐπιμέλειαν, ἣ μάλιστα φιλεῖ τοὺς τεχνίτας ἑκάστους οἰκειοῦν καὶ προσάγειν τοῖς ἐφόροις τῆς τέχνης. οὕτω καὶ Φειδίαν ἐνθουσιῶντα δημιουργεῖν, οὕτω καὶ Ζεῦξιν εἰκάζειν τὰ ἀγάλματα.

ι 14 Ἰάκωβος· οὗτος πιὼν φάρμακον ἐπὶ Οὐάλεντος ἐτελεύτησεν. ἦν δὲ ὁ συμβουλεύσας αὐτῷ πιεῖν τὸ φάρμακον Λιβάνιος σοφιστής, διὰ τὸ ἐπιζητῆσαι, τίς ὁ διαδεξόμενος τὴν βασιλείαν Οὐάλεντος.

ι 15 Ἴακχος: ὕμνος εἰς Διόνυσον. ᾄδουσι τὸν Ἴακχον, ὥσπερ Διαγόρας. τοῦτόν φασιν Ἄθεον κεκλῆσθαι. γέγονε δὲ καὶ ἕτερος, κωμῳδούμενος ἐπὶ μεγέθει. Ἕρμιππος ἐν Μοίραις· μείζων γὰρ ἦν. νῦν δ' ἔστι καὶ δοκεῖ δή μοι, ἐάν τις ἐπιδιδῷ τῆς ἡμέρας, μείζων ἔσται Διαγόρου τοῦ Τερθρέως.

ι 16 Ἴακχος: Διόνυσος ἐπὶ τῷ μαστῷ. καὶ ἥρως τις· καὶ ἡ ἐπ' αὐτῷ ᾠδή· καὶ ἡ ἡμέρα, καθ' ἣν εἰς αὐτὸν ἡ πανήγυρις. ἔνιοι δὲ καὶ θόρυβος. ὅ τε μυστικὸς Ἴακχος ἠκούσθη κατὰ τὴν ναυμαχίαν Περσῶν καὶ Ἑλλήνων. Ἴακχος οὖν παρὰ τὸ ἰάκχω. καὶ μέντοι καὶ ὁ Ἴακχος ἠκούσθη ἐκ τοῦ Ἀρείου πεδίου, ὑμνούμενός τε καὶ ᾀδόμενος.

ι 17 Ἰάλεμος: ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν φέρων. καὶ παροιμία, Ἰαλέμου ψυχρότερος. Ἰάλεμον τὸν θρῆνόν φασι. λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης, κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.

ι 18 Ἰαλεμώδη: τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια.

ι 19 Ἰαληψός: χώρα.

ι 20 Ἴαλλος: ὁ σκωπτόλης. καὶ Ἴαλλοι, τὰ σκώμματα.

ι 21 Ἰάλλω: ἐκτείνω.

ι 22 Ἴαμα.

ι 23 Ἰαμβεῖος λόγος· καὶ τὸ οὐδέτερον Ἰαμβεῖον· Ἰάμβιον δέ, καὶ Ἰάμβιος, ὄνομα κύριον.

ι 24 Ἰάμβη: ὄνομα κύριον.

ι 25 Ἰαμβίζω. Ἰαμβίζω, τὸ ὑβρίζω. ὡς γὰρ ὁ ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, οὕτω καὶ ἡ ὕβρις ἐξ ὀλίγου ἀρχομένη πρόεισιν ἐπὶ μεῖζον. καὶ Ὅμηρος· ἥ τ' ὀλίγη μὲν τὰ πρῶτα.

ι 26 Ἰάμβλιχος· οὗτος, ὥς φασιν, ἀπὸ δούλων ἦν. ἔγραψε δὲ τὰ καλούμενα Βαβυλωνιακά· ἔστι δὲ Ῥοδάνου καὶ Σινωνίδος ἔρως ἐν βιβλίοις λθʹ. οὗτος λέγει περὶ Ζωβαρᾶ τοῦ εὐνούχου, τοῦ ἐραστοῦ τῆς Μεσοποταμίας τῆς εὐειδεστάτης.

ι 27 Ἰάμβλιχος ἕτερος, Χαλκίδος τῆς Συρίας, φιλόσοφος, μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου, τοῦ Πλωτίνου, γεγονὼς κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως. ἔγραψε βιβλία φιλόσοφα διάφορα.

ι 28 Ἰαμβρῆς: ὄνομα κύριον· καὶ κλίνεται Ἰαμβροῦ.

ι 29

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰαμβύκαι: ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ σαμβύκαι.

ι 30 Ἰαμενής: ὄνομα κύριον. καὶ Ἰαμενός, ὄνομα κύριον.

ι 31 Ἰάμνια: πόλις.

ι 32 Ἴαμαι: τὰ ὕδατα ταῦτα. Ἰῶμαι δέ.

ι 33 Ἰάνειρα: ὄνομα κύριον.

ι 34 Ἰαννῆς, Ἰαννοῦ: ὄνομα Ἑβραϊκόν.

ι 35 Ἰάνθη: ἥσθη, ἐχάρη, διεχύθη.

ι 36 Ἰανοκρήδεμνος: ὁ στέμμα ἐξ ἴων φορῶν.

ι 37 Ἰανόκροκον: τὸ λεπτόν.

ι 38 Ἴανος· τὰς πύλας τοῦ Ἰάνου διαπετάσας ὁ βασιλεύς, αἵπερ ἐπὶ τῶν μεγίστων πολέμων διηνοίγοντο, ᾤχετο πρὸς τὴν ἕω.

ι 39 Ἰαννουάριος: ἄγαλμα τετράμορφον διὰ τὰς δʹ τροπάς. οἱ δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυρεόν. ἕτεροι δὲ τῇ δεξιᾷ τʹ, τῇ δὲ ἀριστερᾷ ξεʹ κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος Αἰωνοάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

ι 40 Ἰαολκός.

ι 41 Ἰαπετός: ὄνομα κύριον. λῆρος, μωρός, ἀρχαῖος, εἷς τῶν Γιγάντων. μήδ’ Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. οἷον ἐτράφης. τουτέστι λῆρον, μωρόν.

ι 42 Ἰάπτων: βλάπτων, ὑβρίζων. Σοφοκλῆς· λόγοις ἰάπτων ἴδε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ.

ι 43 Ἰαπυγία: ὄνομα τόπου.

ι 44 Ἰάπυξ: ἄνεμος ἐλαφρός. ἢ ὄνομα τόπου.

ι 45 Ἰαρδάνης: ὄνομα ποταμοῦ.

ι 46 Ἰάρχας: ὄνομα κύριον.

ι 47 Ἱᾶσι: πέμπουσιν. Ἴασι δὲ πορεύονται.

ι 48 Ἴασις καὶ ἄρηξις διαφέρει. τῶν γὰρ νοσημάτων, τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. φησὶν οὖν Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· πόθεν δ’ ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων ἄρηξιν, οἷς ἴασις οὐκ ἔνεστιν ἰδεῖν; τουτέστι κατ’ οὐδένα τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

ι 49 Ἰάσονος: ὄνομα κύριον.

ι 50 Ἴασος: ὄνομα τόπου. καὶ Ἰασίτης, ἀπὸ τόπου.

ι 51 Ἰασώ: ὄνομα γαμετῆς, θυγατρὸς Φιλάρου.

ι 52 Ἰάσων, Μενεκράτους, Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρὸς Ῥόδιος· φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε Βίους ἐνδόξων καὶ Φιλοσόφων διαδοχὰς καὶ Βίον Ἑλλάδος ἐν βιβλίοις δʹ κατά τινας. οὗτος ἔγραψε καὶ περὶ Ῥόδου.

ι 53 Ἰάσων, Ἀργεῖος, ἱστορικός, νεώτερος Πλουτάρχου τοῦ Χαιρωνέως, γραμματικός. ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δʹ· ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος καὶ τὰ ἀπὸ τῶν Μηδικῶν τά τε κατ’ Ἀλέξανδρον ἕως τελευτῆς αὐτοῦ καὶ τὰ μέχρι τῆς Ἀθηναίων ἁλώσεως, τῆς γενομένης ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασάνδρου.

ι 54 Ἴασπις: λίθος πολυτελής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 55 Ἰαστί: Ἑλληνιστί.

ι 56 Ἰατταταττατατταταττατατταί: σχετλιαστικά. τοῦτο ἀλγήσας φησίν.

ι 57 Ἰατρεία μίξεως· ζήτει ἐν τῷ Ἁρμάτος.

ι 58 Ἰατρὸς Δημοκήδης· ζήτει ἐν τῷ Δημοκήδης.

ι 59 Ἰατατταιὰξ τῶν κακῶν, ἰατταταιάξ· φησὶν Ἀριστοφάνης.

ι 60 Ἰατταταιάξ: θρηνητικὸν ἐπίρρημα.

ι 61 Ἰᾶται.

ι 62 Ἰατήρ, ἰατρός.

ι 63 Ἰατρός: βραχὺ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· τί δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει; παρὰ δὲ Ὁμήρῳ· ἰητρὸς γὰρ ἀνήρ. Ἰατρὸς δ' ἐπιστήμων, οὐχ ὁ ἰώμενος μόνον, ἀλλ' ὁ καὶ τὴν αἰτίαν καθ' ἣν ἰᾶται γνωρίζων. Ἰατροτέχναι δέ. ὅτι καὶ ἰατροὶ περὶ ἀέρων, ὀρέων καὶ ὑδάτων ἔγραψαν. συντάγματα δέ εἰσιν Ἱπποκράτους οὕτως ἐπιγραφόμενα, περὶ ἀέρων, τόπων καὶ ὑδάτων. ὅτι εἰώθασιν οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον Κυρηναϊκὸν ὀπόν, τιθύμαλλος Λακωνικός. καὶ οἱ νῦν Ῥέον Ποντικὸν καὶ Ῥέον βάρβαρον. ζήτει περὶ ἰατρείας ἐν τῷ ὑγίεια.

ι 64 Ἰατρίνη: θηλυκόν. ζήτει περὶ ἰατρείας ὑείων κρεῶν ἐν τῷ Δομνῖνος.

ι 65 Ἰαῦ: καὶ τοῦτο σχετλιαστικὸν ἐπίρρημα.

ι 66 Ἰαύειν: κοιμᾶσθαι, καὶ ἐνδιατρίβειν.

ι 67 Ἰατρική· ζήτει ἐν τῷ ἄρχων Χρότιος.

ι 68 Ἰαυθμοί: αἱ κοιμῆθραι, παρὰ τὸ ἰαύειν. λέγεται καὶ ἐπιαύειν. οὐδ' ἐπιαύει ἠϊόσι μογερῷ γήραϊ τειρόμενος.

ι 69 Ἴαχεν: ἐβόησεν.

ι 70 Ἰαχείμ: ὄνομα κύριον.

ι 71 Ἰαχή: κραυγή. βοή, ἦχος, ἢ θρῆνος. ἀπὸ τοῦ ἰάχω. τοῦτο παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν.

ι 72 Ἰαχήματα: ᾠδαὶ Διονυσιακαί· καὶ Κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων.

ι 73 Ἰαχήν· οὗτος ἐγένετο Αἰγύπτιος, ἀνὴρ θεοφιλὴς καὶ ἐς πολλὰ λυσιτελής. ἦν δὲ ἐπὶ Σενύου βασιλέως Αἰγυπτίων, περιάπτων καὶ ἐπαοιδῶν ἀντίπαλος καὶ ἐν ταῖς ὀδύναις καὶ νόσοις σοφιστὴς ἄκρος· ὃς λοιμῶν ἐπιδημίαν ἔσβεσε καὶ τὴν ἀμφὶ τὸν κύνα τὸν Σείριον πρωτίστην ἐπιτολὴν καὶ ὁρμὴν τὴν ἔμπυρον ἡμέρωσε τοῦ ἀστέρος. διὸ καὶ πολυτελῶς ἐτάφη. καὶ εἴ ποτε δημοσία νόσος ἐπεπόλασεν, ἐπὶ τὸν σηκὸν τοῦδε φοιτῶντες οἱ ἱερογραμματεῖς καὶ τὰς δεούσας ἱερουργίας ἐπιτελοῦντες ἐκ τοῦ βωμοῦ πῦρ ἐναύονται, ἐξάπτοντες πυρὰς κατὰ πόλεις καὶ τοῦ δυσώδους ἀέρος τὴν φθοροποιὸν ἐκείνην νόσον μαραίνοντες καὶ κρατύναντες, τοῦτο δὴ τὸ καινότατον, τὴν νόσον ἔσβεσαν τῷ πυρί.

ι 74 Ἰάψαι: ἐπιβαλεῖν. καὶ Ἰάψῃς, ἐπιβάλῃς ἢ συλλάβοις ἡμῖν. ὀρχήματος αὐγὴν τοῦδ' ἂν ξυνὼν ἰάψῃς. Σοφοκλῆς.

ι 75 Ἴβηρες: ὄνομα ἔθνους. καὶ Ἰβηρία χώρα. ἔστι δὲ καὶ ἄλλη Ἰβηρία ἡ Ἑσπερία, ἡ καὶ Ἱσπανία λεγομένη. ὅτι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι.

ι 76 Ἶβις: ὄρνεον ὀφιοφάγον. καὶ κλίνεται ἴβιδος, τὰς ἴβεις.

ι 77 Ἰβυκανητῶν: ἀπὸ Ἰβύκου εὑρετοῦ. ἰβυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος.

ι 78

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰβύκειον ῥησείδιον· ἀλλὰ τὸ Ἰβύκου ἔπος αὐτὸν ἐπῄει· μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψειν. ἔστι δὲ πρὸς ἱερωσύνην συνᾷδον τὸ Ἰβύκειον τουτὶ ῥησείδιον.

ι 79 Ἰβύκινον: μουσικὸν ὄργανον, ἀπὸ Ἰβύκου. ὅτι κατὰ τὴν συμπλοκὴν τῶν Κελτῶν πρὸς Ῥωμαίους ἀναρίθμητον ἦν τὸ τῶν ἰβυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος. οἷς ἅμα τοῦ παντὸς στρατοπέδου παιανίζοντος κραυγὴ ἦν συμμιγὴς ὡς καὶ τοὺς παρακειμένους τόπους ἠχεῖν καὶ δοκεῖν προΐεσθαι φωνὴν ἐκπληκτικήν.

ι 80 Ἴβυκος, Φυτίου, οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου, οἱ δὲ Κέρδαντος· γένει Ῥηγῖνος. ἐνθένδε εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχεν ὁ Πολυκράτης τοῦ τυράννου πατήρ. χρόνος δὲ οὗτος ὁ ἐπὶ Κροίσου, ὀλυμπιὰς νδʹ. γέγονε δὲ ἐρωτομανέστατος περὶ μειράκια καὶ πρῶτος εὗρε τὴν καλουμένην σαμβύκην· εἶδος δέ ἐστι κιθάρας τριγώνου. ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζʹ τῇ Δωρίδι διαλέκτῳ. συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπὶ ἐρημίας ἔφη, κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη· μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη· ἴδε, αἱ Ἰβύκου ἔκδικοι. ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη, καὶ δίκας ἔδωκαν οἱ λῃσταί· ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι, αἱ Ἰβύκου γέρανοι.

ι 81 Ἴβυξ: εἶδος ὀρνέου.

ι 82 Ἴγδη: ἡ τριβαία.

ι 83 Ἴγδισμα: λόγισμα.

ι 84 Ἰγνάτιος, διάκονος καὶ σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως καὶ γεγονὼς μητροπολίτης Νικαίας, γραμματικός. ἔγραψε βίους Ταρασίου καὶ Νικηφόρου τῶν ἁγίων καὶ μακαρίων πατριαρχῶν· ἐπιτυμβίους ἐλέγους· ἐπιστολάς· ἰάμβους εἰς Θωμᾶν τὸν Ἀντάρτην, ἅπερ ὀνομάζουσι τὰ κατὰ Θωμᾶν· καὶ ἄλλα.

ι 85 Ἰγνύη: ὁ ὑπὸ τὸ γόνυ τόπος ὀπίσω τοῦ γόνατος. καὶ τὸ πληθυντικὸν Ἰγνύες.

ι 86 Ἴγγωρ: ἐθνικόν.

ι 87 Ἰδάλιμον: εὐειδές. καὶ Ἰδάλιμος, ὁ ἱδρώς, καὶ Ἰδάλιμον, τὸ καυστικόν.

ι 88 Ἴδ' ἀφύη πῦρ: παροιμία ἐπὶ τάχους. ἅμ' ἔπος, ἅμ' ἔργον.

ι 89 Ἴδας: ὄνομα κύριον. καὶ ὁ μέγας.

ι 90 Ἰδαῖον: ἄντρον ἐν Κρήτῃ.

ι 91 Ἰδαῖος, Ῥόδιος, υἱὸς Λισσοῦ, ἐποποιός· παρεμβαλὼν στίχον στίχῳ ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. ἔγραψε καὶ ἄλλα· Ῥόδια εἰς ἔπη ͵γʹ.

ι 92 Ἰδαῖος δάκτυλος· Ἰδαῖος δὲ ἀπὸ τῆς Ἴδης.

ι 93 Ἰδαίους: ψυχρούς. ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ τοὺς δακτύλους δήπουθεν Ἰδαίους ἔχω.

ι 94 Ἴδε: βλέψον. Ἰδέ, σύνδεσμος.

ι 95 Ἰδέα. τότε δὲ πολλαὶ ἰδέαι κακῶν συνέσχον τὴν πόλιν. τουτέστιν ὑποθέσεις.

ι 96 Ἰδέας: τὰς θεωρίας, διὰ τοῦ ι. καὶ Ἰδέαι. τὴν ἰδέαν ὁ Πλάτων καὶ εἶδος ὀνομάζει καὶ γένος καὶ παράδειγμα καὶ ἀρχὴν καὶ αἴτιον. Ἰδέα δὲ λόγου, ὁ χαρακτήρ.

ι 97 Ἰδέαι μουσικαί· ζήτει ἐν τῷ σιμός.

ι 98 Ἰδέρως: ὁ ἅμα τῷ ἰδεῖν ἐρῶν.

ι 99 Ἴδει: τῷ ἱδρῶτι. ἢ εὐθεῖα τὸ ἴδος· καὶ ἴδει, σημαίνει τῷ θέρει παρ' Ἡσιόδῳ.

ι 100 Ἰδεῖν: βλέψαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

101 Ἴδη: πᾶν σύμφυτον ὄρος. καὶ Ἰδαῖον, ἄντρον ἐν Κρήτῃ.

102 Ἰδίᾳ: χωρίς.

103 Ἰδίαν: ἀντὶ τοῦ ἰδιωτικήν. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. καὶ ἴδιον, τὸ ἰδιωτικόν.

104 Ἰδιαίτατον: καταμόνας. καὶ Ἰδιαίτατον μένος.

105 Ἰδιαίτατος: ὁ μοναχός.

106 Ἰδιαίτερον: ἰδικώτερον.

107 Ἰδίειν: ἱδροῦν. κοπιᾶν. καὶ Ἴδεος, καύματος, ἱδρῶτος.

108 Ἰδίω: τὸ ἱδρῶ. ἴδιον, ὡς ἐνόησα. Ὅμηρος.

109 Ἰδίῃς: ἱδρώσῃς. Ἀριστοφάνης· μή μοι σοβαρῶς χώρει, πρὶν ἂν ἰδίῃς (τουτέστιν ἱδρώσῃς) καὶ διαλύσῃς ἄρθρων ἶνας πτερύγων ῥύμῃ. ἐπὶ τοῦ κανθάρου.

110 Ἰδικῶς: καταμόνας.

111 Ἴδιον: ἰδιωτικόν. τὸ γὰρ συμβαῖνον ἴδιον ἦν καὶ παρηλλαγμένον. τουτέστι σπανίως συμβὰν γενέσθαι. καὶ αὖθις· οἱ δὲ ἐπολυπραγμόνησαν ἀκριβῶς τά τε ἄλλα καὶ τὰς περὶ τὸν Φάρον ἰδιότητας.

112 Ἴδιον· τοῦτο διττόν ἐστιν, εἴτε ὡς μέρους ἴδιον· ὡς λέγομεν ἴδιον τοῦ ποδὸς τὸ βαδίζειν· οὐ γὰρ ὡς μὴ δεόμενον τοῦ ὅλου λέγομεν ἴδιον εἶναι τὸ βαδίζειν· δεῖται γάρ· ἀλλ’ ὡς τοῦ μορίου τούτου παρὰ τὰ ἄλλα μόρια ἴδιον ὄν· ἢ τὸ μὴ δεόμενον τοῦ ὅλου πρὸς ὕπαρξιν, ὡς εἴ τις εἴποι, ὅτι ἡ γλισχρότης ἡ ἐν τῷ ὑδρελαίῳ ἰδία ἐστὶ τοῦ ἐλαίου, ἢ ἡ γλυκύτης ἡ ἐν τῷ μέλιτι ἰδία ἐστὶ τοῦ μέλιτος. λέγει οὖν ὁ τοιοῦτος τὸ ἴδιον οὐχ ἁπλῶς ὡς μέρος, ἀλλ’ ὡς μὴ δεόμενον τοῦ ὅλου πρὸς ὕπαρξιν· οὐ γὰρ δεῖται τοῦ οἰνομέλιτος, ἵνα συστῇ ἡ γλυκύτης, ἀλλ’ ἔστι τοῦ ὅλου χωριστή· ἔστι γὰρ ἐν μόνῳ τῷ μέλιτι. καὶ ἴδιον ἔχουσιν οἱ Κελτίβηρες κατὰ τὸν πόλεμον· θεωροῦντες γὰρ τοὺς παρ’ αὐτῶν πεζοὺς πιεζομένους, παρακαταβάντες ἀπολείπουσι τοὺς ἵππους ἑστῶτας ἐν τάξει. ἄκροις γὰρ τοῖς ἀγωγεῦσι τῶν ἵππων πασσαλίσκους μικροὺς ἀπηρτηκότες ἐπιμελῶς πήξαντες πειθαρχεῖν διδάσκουσι τοὺς ἵππους ἑστῶτας ἐν τάξει, μέχρι ἀνακάμψαντες ἀνασπάσωσι τοὺς παττάλους.

113 Ἰδιοξενία. δεδιὼς μὴ διὰ τὴν ἰδιοξενίαν, ἣν ἔχει πρὸς Ἀρχίδαμον.

114 Ἰδιόξενος: ὁ ἰδίᾳ καθ’ ἑαυτὸν ξένος ὤν· πρόξενος δὲ ὁ νέηλυς πόλεως ξένης, παρ’ ᾧ καὶ οἱ πρέσβεις κατάγονται· καὶ προσάγει τὰς πρεσβείας οὗτος πρὸς τὸ δημόσιον καὶ τὰ ἄλλα διοικεῖ καὶ διαπράττει ἐν τῇ πατρίδι τῇ ἑαυτοῦ, τὰ τῇ πόλει ἐκείνῃ διαφέροντα, ἧς προξενεῖ. δορύξενος δὲ ὁ ἐκ πολέμου ξένος γεγονώς τινι· ἀστόξενος δὲ ὁ ἐκ προγόνων μὲν ἀστῶν, αὐτὸς δὲ ξένος καὶ ἀνανεώσεως δεόμενος· οἷον Ἀγαμέμνων ἐν Λυδίᾳ. Ἀππιανός· ὁ δὲ στρατηγὸς αἰσθόμενος παρ’ ἰδιοξένων ἐξήγγειλεν Ὀστιλίῳ.

115 Ἰδιοπραγεῖ: τὰ ἴδια πράσσει, ἡσυχάζει.

116 Ἰδιότης: ἡ συγγένεια· καὶ κλίνεται ἰδιότητος. καὶ Ἰδιοτεία.

117 Ἰδίω: κοπιῶ, ἱδρῶ.

118 Ἰδίωμα· τὸ δὲ τῆς χώρας ἰδίωμα συνήργει αὐτῷ· σύνδενδρος γὰρ ἦν.

119 Ἰδίως: καταμόνας, χωρίς.

120 Ἰδιώσασθαι: ἰδιοποιήσασθαι.

121 Ἰδιῶται: ἀντὶ τοῦ πολῖται. οὕτως Θουκυδίδης. Ἀριστοφάνης δὲ ἐν Βατράχοις ἰδιώτας τοὺς ἰδίους λέγει· περὶ τοὺς ξένους καὶ τοὺς ἰδιώτας· κατὰ παραγωγὴν ἴδιος, ἰδιώτης. ἰδιώτης δὲ λέγεται, ὁ πρὸς γένος ἴδιος, καὶ ὁ ἀμαθής. καὶ ἐν Πλούτῳ ἴδιον τὸ ἰδιωτικόν φησιν.

122

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰδιώτης: ὁ ἀγράμματος. Δαμάσκιος περὶ Ἰσιδώρου φησί· πάντων τῶν καθ’ αὑτὸν ἰδιωτῶν ὁμοίως καὶ φιλοσόφων ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψίνους ἦν, ἀλλ’ εἴς γε συναύξησιν τῆς ἀρετῆς καὶ τῆς κακίας μείωσιν ὅλην ἐξεκέχυτο τὴν ψυχήν. καὶ Ἰδιωτεία.

ι 123 Ἴδμεν: οἴδαμεν.

ι 124 Ἴδμονα: ἔμπειρον. καὶ Ἐπιΐδμονα. τὸν κύνα τὸν πάσης κρατερῆς ἐπιΐδμονα θήρης.

ι 125 Ἰδνωθείς: καμφθείς.

ι 126 Ἰδομενεύς, ἱστορικός. ἔγραψεν ἱστορίαν τῶν κατὰ Σαμοθρᾴκην.

ι 127 Ἴδοσάν σε ὕδατα: δευτέρου ἀορίστου.

ι 128 Ἰδού: ἀντὶ τοῦ λάβε, κράτει.

ι 129 Ἰδού, θέασαι.

ι 130 Ἰδριεύς· δυνάστης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.

ι 131 Ἴδριας: ἐμπείρους. πολέμων τε γὰρ ἡμᾶς ἴδριας ὄντας ἁμωσγέπως εὑρήσοιτε ἄν. καὶ ἐν Ἐπιγράμμασι Ἰδρίτης· ἰδρίτα καὶ γαίης, ἰδρίτα καὶ πελάγευς. Σοφοκλῆς· εἰ γὰρ πέφυκα τῶνδε τῶν λόγων ἴδρις, σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν. τουτέστι ζηλῶ σε.

ι 132 Ἱδρίω: ἱδρῶ.

ι 133 Ἴδρις: ἔμπειρος. ἀπὸ τοῦ ἴδω, ἴσω. καὶ ἴδιος, ὁ ἐν γνώσει ἡμῖν ὤν. παρὰ τὸν μέλλοντα αὐτοῦ ἴστωρ. καὶ εἰδήμων ἀπὸ τοῦ εἰδῶ, εἰδήσω. γίνεται δὲ καὶ ἀπὸ τοῦ εἴδω, εἴσω, εἶσος καὶ ἶσος. κυρίως γὰρ ἶσος ἐστὶν ὁ ὅμοιός τινι.

ι 134 Ἱδρώοντας: ἱδροῦντας.

ι 135 Ἱδρῶτι· λελείψεται ἡμῖν ἱδρῶτι πολλῷ λούεσθαι. ἱδρῶτι περιρρεόμενοι ὥρᾳ θέρους ὑπὸ τροφῆς ὄντες βαρεῖς καὶ δυσκίνητοι.

ι 136 Ἱδρυμένος: τεθεμελιωμένος.

ι 137 Ἱδρύω· αἰτιατικῇ. καὶ Ἱδρυνθέντι.

ι 138 Ἱδρύσαντο: ἐκάθισαν, ἵδρυσαν. ὁ δὲ ἐπὶ κολώνης τινὸς ἱδρύσας τοὺς περὶ αὑτὸν ἱππεῖς ἐσκόπει τὴν θέσιν τοῦ στρατοπέδου. ἀντὶ τοῦ στήσας.

ι 139 Ἵδρυσις: ἑδραία ἀσφάλεια.

ι 140 Ἵδρυται.

ι 141 Ἰαίνεσθαι: εὐφραίνεσθαι. καὶ Ἰαινόμενοι.

ι 142 Ἴαιρα: ὄνομα κύριον.

ι 143 Ἰεβοῦς: ὄνομα κύριον. καὶ ὄνομα πόλεως. καὶ ἐξ αὐτοῦ Ἰεβουσαῖος.

ι 144 Ἰεζάβελ, γυνὴ τοῦ Ἀχαὰβ βασιλέως, γύναιον δραστήριον καὶ τολμηρόν, εἰς τοσαύτην ἀσέβειαν καὶ μανίαν προέπεσεν ὥστε καὶ ναὸν τῷ Τυρίων καὶ Σιδωνίων θεῷ κατασκευάσαι. καὶ αὐτὸς δὲ ὁ Ἀχαὰβ ἀνοίᾳ καὶ πονηρίᾳ πάντας τοὺς πρὸ αὐτοῦ ὑπερβέβηκεν. ἐπὶ τούτων ἦν Ἠλίας ὁ προφήτης.

ι 145 Ἰεζάβελ, τοῦ Ἀχαὰβ βασιλέως γυνή· ὑφ’ ἧς διωκόμενος Ἠλίας ἐν ἅρματι πυρὸς μετετέθη· ἣν Ἰοῦς ὁ βασιλεὺς ῥίπτει ἀπὸ τοῦ τείχους καὶ κυσὶ παραδίδωσι βρῶσιν.

ι 146 Ἰεζεκίηλ: ὄνομα κύριον.

ι 147 Ἰεμενεί: ὄνομα κύριον.

ι 148 Ἱέμενοι: ἐπιθυμοῦντες· προθυμούμενοι.

ι 149 Ἱέμην: ἐπορευόμην. εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ’ ἱέμην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 150 Ἰέναι: πορεύεσθαι, ἢ πορευθῆναι.

ι 151 Ἵενται: ὁρμῶσιν. οἱ δὲ γευσάμενοι τῆς νίκης τέλεον ἵεντο κρατηθῆναι· ἐφίεντο.

ι 152 Ἱέντες: ἀφιέντες. Ἀππιανὸς περὶ τῶν Κελτῶν φησιν· οὓς γυμνοὺς ἐπεδείκνυε Ῥωμαίοις. οὗτοί εἰσιν οἱ τὴν βοὴν τὴν βαρεῖαν ἱέντες ὑμῖν ἐν ταῖς μάχαις καὶ τὰ ὅπλα παταγοῦντες καὶ ξίφη μακρὰ καὶ κόμας αἰωροῦντες, ὧν τὸ ἄτολμον ὁρῶντες καὶ τὸ σῶμα μαλακὸν καὶ ἄτονον προσίετε τῷ ἔργῳ.

ι 153 Ἵεντο: προεθυμοῦντο, προῃροῦντο.

ι 154 Ἱερὰ νόσος: αὕτη τῇ σελήνῃ ἀνάκειται· ὑπὸ γὰρ ταύτην γίνεσθαί φασιν.

ι 155 Ἱέραξ: εἶδος ὄρνιθος. λύσις ὀνείρου· κίρκος κατασχὼν οὗ θέλεις πάντως τύχῃς. χειρὸς πετασθεὶς κίρκος ἄρχουσι βλάβη.

ι 156 Ἱέραξ: εἷς ἦν τῶν Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι τὴν πόλιν καὶ τὴν χώραν.

ι 157 Ἱερὰ ὁδός: ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ Ἄστεος ἐπ᾽ Ἐλευσῖνα.

ι 158 Ἱερᾶσθαι: ἱερουργεῖν. ἢ Ἱερᾶσθαι, τοὺς ἱεροὺς νενομίσθαι.

ι 159 Ἱερατικὴ καὶ φιλοσοφία οὐκ ἀπὸ τῶν αὐτῶν ἄρχονται ἀρχῶν. ἀλλ᾽ ἡ μὲν φιλοσοφία ἀπὸ τῆς μιᾶς τῶν πάντων αἰτίας εἰς τὴν ὑποστάθμην τῶν ὄντων καθήκουσα, διὰ μέσων τῶν ὅλων γενῶν, θείων τε καὶ τῶν μετὰ θεοὺς κρειττόνων καὶ ἐν τρίτῳ, φασί, βήματι φαινομένων. ἓν γὰρ οὐδέν ἐστι τῶν καθόλου προειρημένων τοῖς ἑκατέρωθι φιλοσόφοις, ὥστε καὶ ῥᾳδίαν εἶναι τὴν ἐφαρμογὴν τῷ βουλομένῳ προσαρμόττειν τοῖς Αἰγυπτίοις τὰ τῶν Ἑλλήνων. τὴν δὲ ἱερατικήν, ἥ ἐστι θεῶν θεραπεία, ἐντεῦθέν ποθεν ἀπὸ τῶν περικοσμίων αἰτιῶν ἄρχεσθαι καὶ περὶ ταῦτα πραγματεύεσθαι, ψυχῶν περὶ ἀθανασίας, ὅτι κατὰ τὰ αὐτὰ καὶ Αἰγυπτίοις φιλοσοφεῖται· τῶν τε ἐν ᾄδου μυρίων λήξεων παντοίων πρὸς ἀρετὴν καὶ κακίαν ἀφωρισμένων, ἔτι τῶν περὶ τὸν βίον μυρίων μεταβολῶν, ὡς ἄλλοτε ἐν ἄλλοις σώμασιν ἢ γένεσιν ζῴων καὶ φυτῶν διατριβουσῶν. Αἰγύπτιοι δὲ ταῦτά εἰσιν οἱ πρῶτοι φιλοσοφοῦντες· ἀπὸ γὰρ τῶν Αἰγυπτίων ἕκαστα τούτων οἱ Πυθαγόρειοι ἐξήνεγκαν εἰς τοὺς Ἕλληνας.

ι 160 Ἱέρατο: ὑπερσυντελικὸς διὰ τοῦ ο μικροῦ. Ἱεράτω δὲ κατὰ νόμον ὀργιαζέτω καὶ θυέτω· ὀργεῶνες γὰρ οἱ θύται.

ι 161 Ἱερὰ τριήρης λέγοιτ᾽ ἂν ἡ Πάραλος.

ι 162 Ἱερεμίας: ὄνομα κύριον. ζήτει περὶ τῶν ἁγίων ὀστῶν τοῦ προφήτου ἐν τῷ Ἀργόλαι.

ι 163 Ἱέρευσεν: ἔθυσεν.

ι 164 Ἱέρεια: θύτρια.

ι 165 Ἱερείας ἐνύπνιον: ἄλλοι δέ φασι δεῖν μᾶλλον Ἱμεραίας ἐνύπνιον λέγεσθαι. Ἱμεραία δὲ γραῦς τις ὥς φασιν ὁρᾶν ἑαυτὴν ἐδόκει ἀναγομένην εἰς οὐρανούς· καὶ δῆτα ἐλθοῦσαν εἰς τὰ τοῦ Διὸς οἰκήματα θεάσασθαι ἄνδρα πυρρὸν δεδεμένον ἁλύσει σιδηρᾷ, ὑπὸ τὸν βασίλειον θρόνον· πυθομένην δὲ τίς εἴη, ὁ ἀλάστωρ, ἀκοῦσαι, τῆς Σικελίας. τὸ μὲν ἐνύπνιον ἐν τούτῳ. ὕστερον δὲ χρόνοις ἰδοῦσα τυραννοῦντα τὸν Διονύσιον τό τε ὄναρ πολλοῖς διηγήσατο καὶ αὐτὸν εἶναι τὸν τεθεαμένον ἀπήγγειλεν· ἣν ὀργισθεὶς ἀπέκτεινε Διονύσιος.

ι 166 Ἱερεῖον: θῦμα, πᾶν τὸ θυόμενον θεῷ.

ι 167 Ἱερείτης: ὁ ἱερεύς.

ι 168 Ἱερή: θαυμαστή.

ι 169 Ἱεριχώ: ὄνομα πόλεως. καὶ Ἱεριχούντια τείχη.

ι 170 Ἱεριχούντια τείχη διὰ τοῦ ι· Σεμιράμεια δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 171 Ἱεροβάαλ: οὕτως ἐκαλεῖτο ὁ Γεδεὼν διὰ τὸ καταβαλεῖν τὸ ἱερὸν τοῦ Βάαλ.

ι 172 Ἱεροβοάμ, ἀδελφὸς Γεδεών, πλείστας εἶχε γυναῖκας, ἐξ ὧν υἱοὺς ο′ πεποίητο καὶ ἕνα ἐκ παλλακῆς. ὅτι Ἰωνάθαν εἰς Γαριζὶν ἀνελθὼν (ὅπερ ἅγιον ὄρος ἑρμηνεύεται) μῦθόν τινα διηγησάμενος προεδήλωσε τοῦ τε Ἀβιμέλεχ καὶ τῶν ὑπηκόων τὴν μέλλουσαν ἔχθραν ἀποβήσεσθαι. ὅτι Ἱεροβοὰμ ὑπονοήσας, εἰ ἀνέρχοιτο ὁ λαὸς εἰς Ἱερουσαλὴμ προσκυνήσων, ἐπιστρέψειν αὐτοὺς ἀπὸ τῆς ἀποστασίας ἐπὶ τὸ Δαβὶδ γένος, δαμάλεις δύο χρυσᾶς, τὴν μὲν ἐν Βεθήλ, τὴν δὲ ἐν φυλῇ Δὰν ἀναθείς, ἐκέλευε τούτους ἡγεῖσθαι θεούς, οἳ ἐξήγαγον τοὺς πατέρας ἐκ γῆς Αἰγύπτου· κἀνταῦθα προσκυνεῖν ἐδικαίου παραιτουμένους Ἱερουσαλήμ, προφάσει πορείας τῆς πολλῆς· ἱερεῖς τε ὡς ἔτυχεν ἐπέστησε· τοὺς γὰρ Λευίτας ἐξέωσεν εἰς Ἱερουσαλήμ, ἑορτὰς δὲ τὰς αὐτὰς ἔταξε ταῖς ἐν τῷ ναῷ. καὶ ὁ λαὸς εὐδιάφθορος ὢν ἐξηκολούθησεν οὐκ ἄκων.

ι 173 Ἱεροβοάμ· οὗτος κατασκευάσας βασίλειον ἐν Σικίμῳ πόλει ἐν ταύτῃ τὴν δίαιταν ἔσχε, κατεσκεύασε δὲ καὶ ἐν Φανουὴλ πόλει λεγομένῃ. μετ’ οὐ πολὺ δὲ τῆς σκηνοπηγίας ἑορτῆς ἐνίστασθαι μελλούσης, λογισάμενος, ὡς, ἐὰν ἐπιστρέψῃ τῷ πλήθει προσκυνῆσαι τὸν θεὸν εἰς Ἱεροσόλυμα πορευθέντι καὶ ἐκεῖ τὴν ἑορτὴν διαγαγεῖν, μετανοῆσαν ἴσως καὶ δελεασθὲν ὑπὸ τοῦ ναοῦ καὶ τῆς θρησκείας τῆς ἐν αὐτῷ τοῦ θεοῦ, καταλείψει μὲν αὐτόν, προσχωρήσει δὲ τῷ πρώτῳ βασιλεῖ καὶ κινδυνεύσει τούτου γενομένου τὴν ψυχὴν ἀποβαλεῖν, ἐπιτεχνᾶταί τι τοιοῦτον. δύο ποιήσας δαμάλεις χρυσᾶς καὶ οἰκοδομήσας ναΐσκους τοσούτους, ἕνα μὲν ἐν Βεθὴλ πόλει, τὸν δὲ ἕτερον ἐν Δάμῃ (ἥ ἐστι πρὸς ταῖς πηγαῖς τοῦ μικροῦ Ἰορδάνου), τίθησι τὰς δαμάλεις ἐν ἑκατέρῳ τῶν ἐν ταῖς πόλεσι ναΐσκων καὶ παραινεῖ αὐτοὺς θῦσαι ταύταις.

ι 174 Ἱεροβοάμ, βασιλεὺς ἕτερος τῶν Ἰσραηλιτῶν ἔτη μ′. ὃς τὰ μὲν εἰς θεὸν ὑβριστὴς ἦν καὶ παράνομος δεινῶς ἐγένετο, εἴδωλά τε σεβόμενος καὶ πολλοῖς ἀτόποις καὶ ξένοις ἐγχειρῶν ἔργοις· ὃς τῷ λαῷ τῶν Ἰσραηλιτῶν μυρίων κακῶν αἴτιος ὑπῆρχεν. ζήτει περὶ αὐτοῦ ἐν τῷ Ἀχίας.

ι 175 Ἱερογλυφικὰ ἔγραψεν ὁ Χαιρήμων.

ι 176 Ἱερογραμματεῖς· οὗτοι παρ’ Αἰγυπτίοις ἦσαν δεινοὶ περὶ τῶν μελλόντων τὴν ἀλήθειαν εἰπεῖν. καὶ τούτων τις ἀγγέλλει τῷ βασιλεῖ τεχθήσεσθαί τινα κατ’ ἐκεῖνον τὸν καιρὸν τοῖς Ἰσραηλίταις, ὃς ταπεινώσει μὲν τὴν Αἰγυπτίων ἡγεμονίαν, αὐξήσει δὲ τοὺς Ἰσραηλίτας τραφεὶς ἀρετῇ τε πάντας ὑπερβαλεῖ καὶ δόξαν ἀείμνηστον κτήσεται· περὶ Μωϋσέως λέγων. καὶ αὖθις· Συήνης, Αἰγυπτίων βασιλεύς, δίκαιος πάνυ. ἕπεται δὲ τῷ τρόπῳ τοῦ ἀνδρὸς τοῦδε ἄλλα μὲν ἐκ θεοῦ ἀγαθά, καὶ μέντοι καὶ ἱερογραμματέα ᾄδουσιν οἱ Αἰγύπτιοι λόγοι κατ’ αὐτὸν γενέσθαι θεοφιλῆ τε καὶ ἐς πολλὰ λυσιτελῆ, ὄνομα αὐτῷ Ἰαχίμ· ὅν φασι περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρον γενέσθαι.

ι 177 Ἱεροκήρυξ.

ι 178 Ἱεροκλῆς, φιλόσοφος, Ἀλεξανδρεύς. οὗτος μετὰ τοῦ ἀτρέπτου καὶ μεγαλοπρεποῦς εὔρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. ἦν δὲ αὐτῷ καὶ μαθητὴς Θεοσέβιος, ἀνήρ, εἴπερ τις ἕτερος ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν εἰς τὰς τῶν ἀνθρώπων ψυχάς. ἔλεγε δὲ ὁ αὐτὸς Θεοσέβιος ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα, κύβοις ἐοικέναι τοὺς Σωκράτους λόγους· ἀπτῶτας γὰρ εἶναι πανταχοῦ, ὅπῃ ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν προσέκρουσε τοῖς κρατοῦσι καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς. ῥεόμενος δὲ τῷ αἵματι, βάψας κοίλην τὴν χεῖρα προσραίνει τὸν κριτὴν ἅμα λέγων· κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα. φυγὴν δὲ κατακριθεὶς καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλεξάνδρειαν συνεφιλοσόφει τὰ εἰωθότα τοῖς πλησιάζουσιν. ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων, ὧν γέγραφεν εἰς τὰ Χρυσᾶ ἔπη τῶν Πυθαγορείων καὶ ἑτέρων βιβλίων περὶ προνοίας συχνῶν· ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής.

ι 179 Ἱερολογία: ἡ θεία λειτουργία.

ι 180 Ἱερομηνία: ἱερὰ ἑορτὴ κατὰ μῆνα.

ι 181 Ἱερομηνίαι· ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται. Δημοσθένης κατὰ Τιμοκράτους.

ι 182 Ἱερομνήμονες: οἱ εἰς Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς.

ι 183 Ἱερομνήμονες: οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται.

ι 184 Ἱερομύστης: ἱερὰ μυστήρια εἰσηγούμενος, ἅγιος.

ι 185 Ἱερόν: ἅγιον, τῷ θεῷ ἀνατεθειμένον. Ἱερὸν γὰρ λέγουσι πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς. καὶ παροιμία· Ἱερὸν ἡ συμβουλή, παροιμία ἐπὶ τῶν δεινῶν συμβουλεύειν.

ι 186 Ἱερὸν ἰχθῦν: Ὅμηρος τὸν ἄνετον καὶ αὐτεξούσιον λέγει, οὐ τὸν κάλλιχθυν ἢ τὸν πομπίλον, ὥς τινες.

ι 187 Ἱερόν τι νεωκορήσας: ἀντὶ τοῦ εὐφημότερον ἱερατεύσας.

ι 188 Ἱερόντιον: ὄνομα πόλεως.

ι 189 Ἱεροποιός.

ι 190 Ἱεροσόλυμα: ὄνομα πόλεως.

ι 191 Ἱερὸς πόλεμος· δύο ἐγένοντο ἱεροὶ πόλεμοι· Ἀθηναίοις πρὸς Βοιωτοὺς βουλομένους ἀφελέσθαι Φωκέων τὸ μαντεῖον, νικήσαντες δὲ Φωκεῦσι πάλιν ἀπέδωκαν· ὁ δὲ ἕτερος Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων, διὰ τὸ ἐν Δελφοῖς ἱερόν.

ι 192 Ἱερὸς λέγεται καὶ ὁ εὐσεβής.

ι 193 Ἱερουργῶ· αἰτιατικῇ.

ι 194 Ἱερουσαλήμ: ὄνομα πόλεως. ζήτει τὴν ἅλωσιν αὐτῆς ἐν τῷ Ἀντίοχος.

ι 195 Ἱεροφάντης: μυσταγωγός, ἱερεύς. καὶ ὡς οὐ μέλει τῶν Ἀθηναίων θεῷ δεῖξαι φλεγόμενος, ὤθησεν ἑαυτὸν φέρων ἐς τὸ μέγαρον· ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται καὶ νοσεῖ νόσῳ μακροτάτῃ.

ι 196 Ἱεροφάντης: οὕτως ὠνομάσθαι φασὶ τὸν πρῶτον ἱεροφάντην, τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἀπιόντα τὰ ἱερά.

ι 197 Ἱεροφώνων: μεγαλοφώνων.

ι 198 Ἱερῷ: θείῳ, ἤτοι μεγάλῳ.

ι 199 Ἱέρων· οὗτος τύραννος ἦν, ὃς πρῶτον μὲν δι’ ἑαυτοῦ κατεκτήσατο τὴν τῶν Συρακουσίων βασιλείαν καὶ τῶν συμμάχων ἀρχήν, οὐ πλοῦτον οὐ δόξαν οὐχ ἕτερον οὐδὲν ἐκ τῆς τύχης ἕτοιμον παραλαβών, καὶ μὴν οὐκ ἀποκτείνας οὐ φυγαδεύσας οὐ λυπήσας οὐδένα τῶν πολιτῶν. καὶ διεφύλαξε τὸν αὑτοῦ τρόπον· ἔτη γὰρ πεντήκοντα καὶ τέτταρα βασιλεύσας διετήρησε μὲν τῇ πατρίδι τὴν εἰρήνην, διεφύλαξε δ’ αὑτῷ τὴν ἀρχὴν ἀνεπιβούλευτον, διέφυγε δὲ τὸν ταῖς ὑπεροχαῖς παρεπόμενον φθόνον· ὅς γε πολλάκις ἐπιβαλλόμενος ἀποθέσθαι τὴν δυναστείαν ἐκωλύθη κατὰ κοινὸν ὑπὸ τῶν πολιτῶν. εὐεργετικώτατος δὲ καὶ φιλοδοξότατος, ἐν περιουσίᾳ δὲ καὶ τρυφῇ καὶ δαψιλείᾳ πολλῇ διαγενόμενος ἐβίωσε πλείω τῶν ϟʹ ἐτῶν, διεφύλαξε δὲ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰσθήσεις πάσας καὶ τὰ μέρη τοῦ σώματος ἀβλαβῆ. τοῦτο δέ μοι δοκεῖ σημεῖον οὐ μικρόν, ἀλλὰ παμμέγεθες εἶναι βίου σώφρονος.

ι 200 Ἱερώνυμος· τύραννος γέγονεν οὗτος. τινὲς δὲ τῶν λογογράφων τῶν ὑπὲρ τῆς καταστροφῆς αὐτοῦ γεγραφότων πολύν τινα πεποίηνται λόγον καὶ τῶν δεινῶν τῶν περὶ τὴν καταστροφὴν αὐτοῦ συμβάντων, ὥστε μήτε Φάλαριν μήτ᾽ Ἀπολλόδωρον μήτ᾽ ἄλλον μηδένα γεγονέναι τύραννον ἐκείνου πικρότερον. καὶ παῖς παραλαβὼν τὴν ἀρχήν, εἶτα μῆνας οὐ πλείω τριῶν ἢ δώδεκα ζήσας μετήλλαξε τὸν βίον. κατὰ δὲ τὸν χρόνον τοῦτον ἕνα μέν τινα καὶ δεύτερον ἐστρεβλῶσθαι καί τινας τῶν φίλων καὶ τῶν ἄλλων Συρακουσίων ἀπεκτάνθαι δυνατόν, ὑπερβολὴν δὲ γεγονέναι παρανομίας καὶ παρηλλαγμένην ἀσέβειαν οὐκ εἰκός. καὶ τῷ μὲν τρόπῳ διαφερόντως εἰκαῖον αὐτὸν γεγονέναι καὶ παράνομον φατέον, οὐ μὴν εἴς γε σύγκρισιν ἀκτέον οὐδενὶ τῶν προειρημένων τυράννων. ἀλλά μοι δοκοῦσιν οἱ τὰς ἐπὶ μέρους γράφοντες πράξεις, ἐπειδὰν ὑποθέσεις εὐπεριλήπτους ὑποστήσωνται καὶ στενάς, πτωχεύοντες πραγμάτων ἀναγκάζεσθαι τὰ μικρὰ μεγάλα ποιεῖν καὶ περὶ τῶν μηδὲ μνήμης ἀξίων πολλούς τινας διατίθεσθαι λόγους. ἔνιοι δὲ καὶ δι᾽ ἀκρισίαν εἰς τὸ παραπλήσιον τούτοις ἐμπίπτουσιν. ὅσῳ γὰρ ἄν τις εὐλογώτερον καὶ περὶ ταῦτα τὸν ἀναπληροῦντα τὰς βίβλους καὶ τὸν ἐπιμετροῦντα λόγον τῆς διηγήσεως εἰς Ἱέρωνα καὶ Γέλωνα διάγοιτο, παρεὶς Ἱερώνυμον. καὶ γὰρ τοῖς φιληκόοις ἡδίων οὗτος καὶ τοῖς φιλομαθέσι τῷ παντὶ χρησιμώτερος.

ι 201 Ἱερώνυμος, Καρδιανός, ὃς τὰ ἐπ᾽ Ἀλεξάνδρῳ πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

ι 202 Ἱερῶς: μεγάλως.

ι 203 Ἱερῶσθαι· φησὶ Θουκυδίδης· νομίσαντες κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι. σημαίνει γὰρ τὸ ἱεροὺς νενομίσθαι, καὶ οἷον καθιερῶσθαι.

ι 204 Ἰεσσαί: ὄνομα κύριον.

ι 205 Ἱέσθην: προεθυμοῦντο, ἐπορεύοντο.

ι 206 Ἵεται: προθυμεῖται, πορεύεται. καὶ Ἵετο.

ι 207 Ἰεφθάε, κριτὴς Ἰουδαίας, ὁ ῥυσάμενος τὸν Ἰσραὴλ ἐκ χειρὸς Φυλιστιείμ· ὃς ηὔξατο τῷ θεῷ τὸ πρῶτον ὑπ᾽ αὐτοῦ ὑπαντώμενον καταθύειν. ἐπεὶ οὖν τὴν ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς νικητηρίοις ὀρχουμένην ἐθεάσατο, ταύτην εὐθέως ἀνεῖλε. διὸ δὴ αἱ τῶν Ἰουδαίων παρθένοι τετραήμερον αὐτῆς κατ᾽ ἔτος ἐπετέλεσαν μνήμην.

ι 208 Ἰεχονίας: ὄνομα κύριον.

ι 209 Ἱζάνω: καθέζομαι.

ι 210 Ἵζει: καθίζει, ἢ κάθηται.

ι 211 Ἱζήσας: καθήσας.

ι 212 Ἰζηματίας: εἶδος σεισμοῦ.

ι 213 Ἵει: πέμπει, ἀφίησιν. ὁ δὲ ἵει ἑαυτὸν εἰς ὕδωρ ψυχρὸν φάσκων, γῆρας ἀνθρώπων εἶναι τὰ βαλανεῖα.

ι 214 Ἱείη κατὰ λαιμόν.

ι 215 Ἱείς: ἀφιείς, τοξεύων. Σοφοκλῆς· ἀπὸ κοινοῦ τὸ τίς. κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἱείς τις οὐκ ἂν ἁμάρτοι· κατ᾽ εὐτελοῦς δὲ ἱείς τις οὐκ ἂν πείθοι τὸν ἀκούοντα, πρὸς γὰρ τὸν ἔχονθ᾽ ὁ φθόνος ἕρπει. τροπικῶς ἀπὸ τοξευόντων κατὰ μεγάλου σώματος, οἳ οὐχ ἁμαρτάνουσι. πιστὰ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον.

ι 216 Ἱείς: ἀφιείς. πάσας δ᾽ ὑμῖν φωνὰς ἱείς. Ἀριστοφάνης φησίν.

ι 217

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰή: τοῦτο ψιλοῦται, ὅταν μὴ ᾖ ἐν ὕμνῳ· ἐκεῖ γὰρ δασύ ἐστιν. ὡς ἐφυμνίῳ δὲ κέχρηται Εὐριπίδης τῷ, ἰήκοπον οὐ πελάθεις ἐπ’ ἀρωγάν.

ι 218 Ἰή, ἰή, ἰή: πρόσφθεγμά ἐστι καταφρονοῦντος. σημαίνει δὲ μῆκος τοῦτο λεγόμενον. φησὶ γάρ· ὅτου δὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν.

ι 219 Ἰῇ μιᾷ: μιᾷ φωνῇ.

ι 220 Ἴῃ: ἐπὶ μέλλοντος· ἀντὶ τοῦ ἔλθῃ.

ι 221 Ἰήϊος: ὁ τοξότης, ὁ Ἀπόλλων. καὶ Ἤϊε Φοῖβε.

ι 222 Ἰηοῦ, βασιλεὺς Σαμαρείας· ὃς ἀνεῖλεν Ἰεζάβελ καὶ τοὺς υἱοὺς Ἀχαὰβ κατὰ τὸ ῥῆμα Ἠλιοῦ τοῦ προφήτου. ὃς συναθροίσας πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἔφη μετὰ πανουργίας· Ἀχαὰβ μὲν ἐδούλευσε τῷ Βάαλ ὀλίγα, Ἰηοῦ δὲ πολλὰ δουλεύσει αὐτῷ. καὶ νῦν πάντας καλέσατε πρός με τοὺς προφήτας καὶ ἱερεῖς τοῦ Βάαλ, ὅτι μεγάλη μοι θυσία τῷ Βάαλ. πᾶς γάρ, ὃς ἂν ἀπολείψῃ, οὐ ζήσεται. συναθροισθέντες οὖν ἅπαντες, καὶ τοῦ εἰδωλείου πλησθέντος στόμα πρὸς στόμα, ἔφη· ἐρευνήσατε, εἰ ἔστι τῶν δούλων κυρίου τις. καὶ μὴ εὑρεθέντος, ἀνέκτεινε πάντας καὶ τὸν Βάαλ ἐνέπρησε. πλὴν οὐκ ἐφύλαξεν εἰς τέλος πορεύεσθαι ἐν νόμῳ κυρίου.

ι 223 Ἰηΐων: τῶν μετ’ εὐχῆς γινομένων· ἢ τῶν λοιμικῶν· Ἰήϊος γὰρ Ἀπόλλων, εἰς ὃν ἡ ἁγνεία τῶν λοιμῶν ἀναφέρεται· ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος. αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν. Σοφοκλῆς· οὐδὲ ἰηΐων καμάτων ἀνέχουσι γυναῖκες. τουτέστιν οὐ περιγίνονται τῶν πόνων.

ι 224 Ἴηλα: ἐδέσμευσα. καὶ Ἰῆλαι, ἐπικάμψαι.

ι 225 Ἰηλεμῆσαι: θρηνῆσαι. καὶ Ἰηλεμῆσθαι, τεθρηνῆσθαι.

ι 226 Ἵησιν: ἀφίησιν. σχίζων τις ξύλα, ὡς εἶδε τὸν Κλέαρχον προσιόντα, ἵησι τῇ ἀξίνῃ. Ξενοφῶν.

ι 227 Ἴῃσιν: ἀπέλθῃ.

ι 228 Ἰησονίδης: Ἰάσονος παῖς.

ι 229 Ἰησοῦς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν· ὅτι ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ γέγονεν ἄνθρωπός τις, ἀρχηγὸς τῶν Ἰουδαίων, Θεοδόσιος ὄνομα αὐτῷ, ὃς πλείστοις τῶν Χριστιανῶν γνωστὸς ὑπῆρχε καὶ αὐτῷ τῷ μνημονευθέντι πιστῷ βασιλεῖ. κατὰ δὲ τοὺς χρόνους ἐκείνους ἦν τις ἄνθρωπος Χριστιανὸς (Φίλιππος ὄνομα αὐτῷ) τὴν μέθοδον ἀργυροπράτης. οὗτος γνωστῶς ἔχων τὰ πρὸς τὸν Θεοδόσιον καὶ πολλὴν πρὸς αὐτὸν σῴζων τὴν γνησιότητα προετρέπετο αὐτὸν καὶ ἐνουθέτει γενέσθαι Χριστιανόν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ προλεχθεὶς Φίλιππος πρὸς τὸν λεχθέντα Θεοδόσιον τοιαῦτά τινα ἔλεγε· τί δή ποτε σοφὸς ἀνὴρ ὑπάρχων καὶ ἀκριβῶς ἐπιστάμενος τὰ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένα τοῦ δεσπότου Χριστοῦ οὐ πιστεύεις αὐτῷ καὶ γίνῃ Χριστιανός; πέπεισμαι γὰρ περὶ σοῦ, ὅτι οὐκ ἀγνοῶν τὰ τῶν θεοπνεύστων γραφῶν προλεχθέντα περὶ τῆς περὶ τοῦ κοινοῦ ἡμῶν δεσπότου Χριστοῦ παρουσίας παραιτῇ τοῦ γενέσθαι Χριστιανός. σπεῦσον οὖν σῶσαι τὴν σεαυτοῦ ψυχήν, πιστεύων εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα μὴ ἐπιμένων τῇ ἀπιστίᾳ κρίσεως αἰωνίου ὑπεύθυνον σεαυτὸν καταστήσῃς. ταῦτα ἀκούσας ὁ Ἰουδαῖος παρὰ τοῦ Χριστιανοῦ λεγόμενα πρὸς αὐτὸν ἀπεδέξατο αὐτὸν εὐχαριστίας τε αὐτῷ τὰς διὰ λόγων προσήγαγε καὶ τοιαῦτα πρὸς αὐτὸν ἀπεκρίνατο· ἀποδέχομαι τὴν κατὰ θεόν σου ἀγάπην, ὅτι τὰ ὑπὲρ τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς σπουδάζων ἀγωνίζῃ Χριστιανόν με γενέσθαι προτρεπόμενος. διὸ ὡς ἐπὶ τοῦ θεοῦ τοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἐπισταμένου καὶ θεωροῦντος ἀδόλως καὶ ἀνυποκρίτως καὶ μετὰ πάσης ἀληθείας τοὺς πρός σε λόγους ποιήσομαι. ὅτι μὲν οὖν παραγέγονεν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος Χριστός, ὁ ὑφ’ ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος, πεπληροφόρημαι καὶ ὁμολογῶ τεθαρρηκώς, ὡς πρὸς γνήσιόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μου φίλον, ὡς καὶ τὰ πρὸς εὐεργεσίαν μοι ἀεὶ σπουδάζοντα· ἀλλὰ ἀνθρωπίνῳ λογισμῷ κρατούμενος οὐ γίνομαι Χριστιανὸς καὶ ἐν τούτοις καταγινώσκω ἑαυτοῦ. νῦν γὰρ Ἰουδαῖος ὑπάρχων ἀρχηγός εἰμι τῶν Ἰουδαίων καὶ τιμῆς πολλῆς καὶ δώρων πολλῶν καὶ πάντων τῶν πρὸς τὴν ζωὴν ταύτην ἐπιτηδείων ἐν ἀπολαύσει τυγχάνων. ὑπολαμβάνω δέ, ὅτι οὐδὲ εἰ πατριάρχης τῆς καθολικῆς ἐκκλησίας γένωμαι ἢ ἀρχὰς μείζονας καὶ ὑπεροχὰς λαμβάνω παρ' ὑμῶν, τοσαύτης θεραπείας ἀξιωθήσομαι. ἵνα οὖν μὴ τῶν δοκούντων τερπνῶν εἶναι ἐν τῷ βίῳ τούτῳ ἐκπέσω, καταφρονῶ τῆς μελλούσης ζωῆς κακῶς τοῦτο ποιῶν. ἵνα δὲ τοὺς λόγους μου ἀληθεῖς τῇ σῇ ἀγάπῃ παραστήσω, θαρρῶ σοι μυστήριον, ὅ ἐστι παρ' ἡμῖν τοῖς Ἑβραίοις ἀποκεκρυμμένον, ἐξ οὗ ἀκριβῶς ἐπιστάμεθα, ὅτι ὁ ὑφ' ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος· οὐ μόνον ἐξ αὐτῶν τῶν προγεγραμμένων, ἀλλὰ καὶ ἐκ τοῦ παρ' ἡμῖν ἐναπογράφου καὶ ἀποκεκρυμμένου μυστηρίου. ἔστι δὲ ὁ λόγος τοῦ μυστηρίου τοιοῦτος. κατὰ τοὺς ἀρχαίους χρόνους, ἡνίκα ὁ ἐν Ἱεροσολύμοις νεὼς ἐκτίζετο, συνήθεια ἦν παρὰ τοῖς Ἰουδαίοις, ἰσαρίθμους τῶν παρ' ἡμῖν γραμμάτων εἰκοσιδύο τυγχανόντων ἱερεῖς ἐν τῷ ναῷ καθίστασθαι· ὅθεν καὶ τὰ θεόπνευστα βιβλία εἰκοσιδύο ἀπαριθμούμεθα. κῶδιξ οὖν ἀπέκειτο ἐν τῷ ναῷ, ἐν ᾧ ἐπεγράφετο ἑκάστου ἱερέως τῶν κβ' ἡ προσηγορία καὶ τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός. ἑνὸς οὖν τελευτήσαντος τῶν ἱερέων οἱ λοιποὶ συνήρχοντο ἐν τῷ ναῷ καὶ ἐκ κοινοῦ ψηφίσματος καθίστων ἀντὶ τοῦ τελευτήσαντος ἕτερον ἱερέα, πληροῦντες τὸν ἀριθμὸν τῶν κβ' ἱερέων. καὶ ἐπεγράφετο ἐν τῷ κώδικι, ὅτι τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ δεῖνα ἱερεύς, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ ἀντ' αὐτοῦ προεχειρίσθη ὁ δεῖνα. τούτου οὖν τοῦ ἔθους κρατοῦντος ἐν τῷ ἔθνει τῶν Ἰουδαίων, συνέβη κατὰ τοὺς χρόνους ἐκείνους, καθ' οὓς ὁ Ἰησοῦς ἐν τῇ Ἰουδαίᾳ διέτριβε, τελευτῆσαι ἕνα ἐκ τῶν κβ' ἱερέων, πρὶν ἄρξηται ἐμφανίζειν ἑαυτὸν ὁ Ἰησοῦς καὶ διδάσκειν πιστεύειν τοὺς ἀνθρώπους εἰς αὐτόν. συνῆλθον οὖν οἱ λοιποὶ ἱερεῖς ἐπὶ τῷ ποιῆσαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως ἕτερον ἱερέα· καὶ ἑκάστου προβαλλομένου τὸν νομιζόμενον αὐτῷ ἄξιον τοῦ γενέσθαι οἱ λοιποὶ τοῦτον ὡς ἐλλιπῶς ἔχοντα πρὸς ἀρετήν, ἐξ ἧς ὀφείλει καταστῆναι ἱερεύς, ἀπεδοκίμαζον. εἰ γὰρ σοφὸς ἦν, ἤθει τε καὶ βίῳ χρηστός, ἐν ἀγνοίᾳ δὲ τοῦ νόμου καὶ τῶν προφητῶν ἐτύγχανεν, ἀπρόσφορος ἱερατείας ἐκρίνετο. οὕτως οὖν πολλῶν ἱερέων ψηφισθέντων καὶ πάντων ἀποδοκιμασθέντων, εἷς τις ἱερεὺς ἐγερθεὶς ἔστη εἰς τὸ μέσον καὶ λέγει τοῖς λοιποῖς· ἰδού, πολλοὶ ὑφ' ἡμῶν ὀνομασθέντες ἀνεπιτήδειοι εὑρέθησαν πρὸς ἱερωσύνην· δέξασθε οὖν κἀμὲ λέγοντα περὶ ἑνὸς ἀνθρώπου ὀφείλοντος προχειρισθῆναι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως. ὑπολαμβάνω γάρ, ὅτι οὐδεὶς ἐξ ὑμῶν ἀπαρεσθήσεται τῷ παρ' ἐμοῦ γενομένῳ ψηφίσματι. ἐπιτρεψάντων δὲ τῶν λοιπῶν ἱερέων εἶπεν, ὅτι βούλομαι ἐγὼ γενέσθαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως Ἰησοῦν, τὸν υἱὸν Ἰωσὴφ τοῦ τέκτονος· ὅστις νέος μὲν τῇ ἡλικίᾳ ἐστί, λόγῳ δὲ καὶ βίῳ καὶ ἤθεσι χρηστοῖς κεκόσμηται, καὶ ὑπολαμβάνω μηδένα ποτὲ τῶν ἀνθρώπων ὀφθῆναι ἐν λόγῳ ἢ ἐν βίῳ ἢ ἐν ἤθεσι τοιοῦτον, ὡς ἐστὶν οὗτος· καὶ οἶμαι καὶ ὑμῖν πᾶσι τοῖς οἰκοῦσιν ἐν Ἱερουσαλὴμ τοῦτο γνωστὸν καὶ ἀναντίρρητον ὑπάρχειν. ἀκούσαντες δὲ τὸν λόγον τοῦτον οἱ λοιποὶ ἱερεῖς ἀπεδέξαντο τὸν ἄνδρα καὶ ἐβεβαιώσαντο ψήφισμα, ἐπιτήδειον εἶναι ὑπὲρ πάντα ἄνθρωπον εἰς ἱερωσύνην τὸν Ἰησοῦν εἰρηκότες. ἔλεγον δέ τινες περὶ αὐτοῦ μὴ εἶναι ἐκ φυλῆς Λευΐ, ἀλλ' ἐκ φυλῆς Ἰούδα τυγχάνειν· τοῦ Ἰωσήφ τε υἱόν αὐτὸν ὑπολαμβάνοντες εἶναι (οὕτως γὰρ παρὰ Ἰουδαίοις ἐχρηματίζετο), τὸν Ἰωσὴφ ἐκ φυλῆς Ἰούδα, οὐκ ἐκ φυλῆς Λευῒ ἐμαρτύρουν πάντες. καὶ τούτου ἕνεκα, ὡς τῷ δοκεῖν μὴ ὄντα αὐτὸν ἐκ φυλῆς Λευϊτικῆς, ἐκώλυον γενέσθαι ἱερέα. ὁ δὲ τοῦτον ὀνομάσας ἱερεὺς ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε μικτὸν εἶναι τὸ γένος αὐτοῦ· πάλαι γὰρ ἐν γενεαῖς ἀρχαίαις ἐπιμιξία τις γέγονε τῶν δύο φυλῶν κἀκεῖθεν κατάγεσθαι τὸ γένος τοῦ Ἰωσήφ. τοῦτο οὖν ἀκούσαντες οἱ λοιποὶ ἱερεῖς συνῄνεσαν τῷ ψηφίσματι· καὶ κοινῇ βουλῇ πᾶσι τοῖς συνελθοῦσιν ἱερεῦσιν ἔδοξεν ἀντὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τελευτήσαντος ἱερέως τὸν Ἰησοῦν καταστῆσαι. τῆς δὲ συνηθείας ἐχούσης μὴ μόνον τὸ ὄνομα τοῦ γινομένου ἱερέως ἀπογραφῆναι ἐν τῷ κώδικι, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, εἶπόν τινες αὐτῶν ὀφείλειν αὐτοὺς πρῶτον καλέσαι τοὺς γονεῖς αὐτοῦ καὶ παρ' αὐτῶν μαθεῖν τὰ ὀνόματα αὐτῶν, λαβεῖν δὲ καὶ κατάθεσιν αὐτῶν, εἰ υἱὸς αὐτῶν ἐστιν ὁ πρὸς ἱερωσύνην προχειριζόμενος· καὶ ἤρεσε τοῦτο πᾶσιν. ὁ οὖν προονομάσας τὸν Ἰησοῦν γενέσθαι ἱερέα ἔλεγε τετελευτηκέναι Ἰωσὴφ τὸν πατέρα Ἰησοῦ, μόνην δὲ τὴν τούτου ζῆν μητέρα. συνῆκαν οὖν ἅπαντες ἀγαγεῖν τὴν μητέρα αὐτοῦ εἰς τὸ συνέδριον καὶ μαθεῖν παρ' αὐτῆς, εἰ μήτηρ τυγχάνει τοῦ Ἰησοῦ καὶ εἰ αὐτὴ ἔτεκεν αὐτόν, καὶ τὸ ὄνομα τοῦ ἀνδρὸς αὐτῆς ἀκοῦσαι, ἐξ οὗ ἔτεκε τὸν Ἰησοῦν· καὶ δὴ τούτου πᾶσιν ἀρέσαντος ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ καὶ εἶπον πρὸς αὐτήν· ἐπειδήπερ ὁ δεῖνα ὁ ἱερεὺς ἐτελεύτησεν, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ βουλόμεθα ἀντ' ἐκείνου ποιῆσαι τὸν υἱόν σου Ἰησοῦν, ἔθος δέ ἐστιν ἀπογράφεσθαι τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός· εἰπὲ ἡμῖν, εἰ ὁ Ἰησοῦς υἱός σου ἐστί, καὶ εἰ σὺ ἔτεκες αὐτόν. ἡ δὲ Μαρία ἀκούσασα ταῦτα ἀπεκρίνατο λέγουσα πρὸς τοὺς ἱερεῖς· ὅτι μὲν υἱός μου ἐστὶν ὁ Ἰησοῦς, ὁμολογῶ· ἐγὼ γὰρ ἐγέννησα αὐτόν, καὶ μαρτυροῦσί μοι οἱ εὑρεθέντες καὶ αἱ εὑρεθεῖσαι γυναῖκες τικτούσης μου αὐτόν· ὅτι δὲ οὐκ ἔχει ἐπὶ τῆς γῆς πατέρα, πληροφορίαν λάβετε παρ' ἐμοῦ, ὡς βούλεσθε. παρθένου γὰρ τυγχανούσης μου καὶ ἐν τῇ Γαλιλαίᾳ διατριβούσης, ἄγγελος θεοῦ, ἐγρηγορώσης μου οὐ καθευδούσης, εἰσελθὼν ἐν ᾧ ἤμην οἰκήματι, εὐηγγελίσατό μοι ἐκ πνεύματος ἁγίου τεκεῖν υἱόν· οὗ τὸ ὄνομα ἐνετείλατο καλέσαι Ἰησοῦν· παρθένος τοίνυν ὑπάρχουσα, ταύτην ἰδοῦσα τὴν ὀπτασίαν συνέλαβον καὶ ἐγέννησα τὸν Ἰησοῦν μείνασα παρθένος μέχρι τῆς σήμερον καὶ μετὰ τὸ τεκεῖν με. ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἐκέλευσαν ἐλθεῖν μαίας πιστὰς καὶ ἐπέτρεψαν αὐταῖς πολυπραγμονῆσαι, εἰ ἔτι ἀληθῶς παρθένος ἐστὶν ἡ Μαρία. αἱ δὲ ἐκ τῶν πραγμάτων λαβοῦσαι πληροφορίαν διεβεβαιώσαντο παρθένον αὐτὴν ὑπάρχειν. παρεγένοντο δὲ καὶ αἱ παρευρεθεῖσαι καὶ θεασάμεναι αὐτὴν τίκτουσαν, μαρτυροῦσαι ὅτι υἱὸς αὐτῆς ἐστιν ὁ Ἰησοῦς. ἔκθαμβοι δὲ γενόμενοι οἱ ἱερεῖς ἐπὶ τοῖς λεγομένοις παρὰ τῆς Μαρίας καὶ τῶν μαρτυρησάντων περὶ τοῦ τόκου αὐτῆς, ἀποκριθέντες εἶπον τῇ Μαρίᾳ· εἰπὲ ἡμῖν παρρησίᾳ, ἵνα ἐκ τοῦ στόματός σου ἀκούσωμεν, τίνος ἐστὶ καὶ τίνος υἱός, ἵνα οὕτως ἀπογραψώμεθα αὐτόν· οὓς γὰρ εἴπῃς ἡμῖν γονέας τούτους ἡμεῖς καὶ οὐχ ἑτέρους ἀπογραψόμεθα. ἡ δὲ ἀποκριθεῖσα εἶπεν, ὅτι ἐν ἀληθείᾳ ἐγὼ αὐτὸν ἐγέννησα, πατέρα αὐτοῦ ἐπὶ γῆς μὴ ἐπισταμένη, ἀλλὰ παρὰ τοῦ ἀγγέλου ἤκουσα, υἱὸν θεοῦ εἶναι αὐτόν. υἱὸς οὖν ἐμοῦ τῆς καλουμένης Μαρίας ἐστὶ καὶ υἱὸς τοῦ θεοῦ, καὶ μὴ γημαμένη παρθένος ὑπάρχω. ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤγαγον τὸν κώδικα καὶ ὑπέγραψαν οὕτως· τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ γέγονεν ἀντ' αὐτοῦ κοινῇ ψήφῳ πάντων ἡμῶν ἱερεὺς Ἰησοῦς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ Μαρίας τῆς παρθένου. καὶ οὗτος ὁ κώδιξ ἐσώθη ἀπὸ τοῦ ναοῦ σπουδῇ τῶν τὰ πρῶτα φερόντων παρὰ τοῖς Ἰουδαίοις κατὰ τὸν καιρὸν τῆς ἁλώσεως τοῦ ναοῦ καὶ τῶν Ἱεροσολύμων καὶ ἀπόκειται ἐν Τιβεριάδι· καὶ τὸ μυστήριον τοῦτο ὀλίγοις πάνυ καὶ πιστοῖς τοῦ ἔθνους ἡμῶν ἔγνωσται. διὸ καὶ ἐμοὶ ὡς ἄρχοντι καὶ διδασκάλῳ τοῦ ἔθνους τῶν Ἰουδαίων ἀπεκαλύφθη. οὐ μόνον γὰρ ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν πεπληροφορήμεθα, ὅτι ὁ ὑφ' ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ἐλθὼν ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐκ τῆς ἀπογραφῆς, ἥτις καὶ σέσωσται μέχρι τῆς σήμερον καὶ ἀπόκειται ἐν Τιβεριάδι. ταῦτα ἀκούσας ὁ Χριστιανὸς παρὰ τοῦ Ἰουδαίου πρὸς αὐτὸν λελεγμένα, τῷ θείῳ ζήλῳ κινηθεὶς ἔλεγε τῷ Ἰουδαίῳ, ὅτι εὐθὺς καὶ παραχρῆμα ἀναφέρω τῷ πιστῷ καὶ εὐσεβεῖ βασιλεῖ τὰ ὑπὸ σοῦ λεγόμενα, ἵνα πέμψῃ ἐν Τιβεριάδι καὶ φανερώσῃ τὸν κώδικα, ὃν λέγεις, εἰς ἔλεγχον τῆς ἀπιστίας τῶν Ἰουδαίων. ὁ δὲ Ἰουδαῖος πρὸς τὸν Χριστιανὸν ἔλεγε· τί θέλεις κρίμα τῇ ἑαυτοῦ ψυχῇ προσαγαγεῖν καὶ ἀναγαγεῖν τῷ βασιλεῖ καὶ μὴ τυχεῖν τοῦ σπουδαζομένου; εἰ γάρ τι τοιοῦτον γένηται, πόλεμος μέγας μέλλει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνίστασθαι, καὶ φόνοι παρακολουθήσουσι· καὶ τότε, ἐὰν ἴδωσιν ἑαυτοὺς καταπονουμένους, ἐμπρήσουσι τὸν τόπον, ἐν ᾧ ἀπόκειται ὁ κῶδιξ, καὶ μάτην κοπιῶμεν τοῦ σπουδαζομένου ἡμῖν μὴ κατορθουμένου, μόνον ἐκχύσεως αἱμάτων πρόξενοι γενόμενοι. ταῦτα γὰρ ὡς γνησίῳ φίλῳ φανερὰ πεποίηκα τῇ σῇ ἀγάπῃ, ἵνα πιστώσω σε, ὅτι οὐκ ἐξ ἀγνοίας παραιτοῦμαι τὸν Χριστιανισμόν, ἀλλ’ ἐκ κενῆς δόξης. ταῦτα ἀκούσας παρὰ τοῦ Ἰουδαίου ὁ Χριστιανὸς καὶ ἀληθῆ εἶναι πιστεύσας τὰ λεγόμενα παρ’ αὐτοῦ, τῷ μὲν πιστῷ βασιλεῖ Ἰουστινιανῷ τὸν τοιοῦτον λόγον οὐκ ἐγνώρισεν, ἵνα μὴ τῷ θείῳ ζήλῳ ὁ πιστὸς ἐκεῖνος καὶ μέγας βασιλεὺς κινούμενος ἔκχυσιν αἱμάτων παρασκευάσῃ γενέσθαι, καὶ τότε μηδὲ τοῦ σπουδαζομένου κατορθωθέντος· πολλοῖς δὲ τῶν γνωρίμων καὶ φίλων τὸν λόγον τοῦτον ἐποίησε δῆλον· ὃν ἡμεῖς παρὰ τῶν ἀκουσάντων ὑπὸ τοῦ προεξονομασθέντος Φιλίππου τοῦ ἀργυροπράτου μεμαθηκότες φροντίδα οὐ μικρὰν ἐθέμεθα, γνῶναι βουλόμενοι, εἰ ἄρα ἀληθῶς τοὺς λόγους τούτους ὁ Ἰουδαῖος εἴρηκε περὶ τῆς τοιαύτης ἀπογραφῆς. εὕρομεν οὖν Ἰώσηπον, τὸν συγγραφέα τῆς ἁλώσεως Ἱεροσολύμων, οὗ μνήμην πολλὴν Εὐσέβιος ὁ Παμφίλου ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ ποιεῖται, φανερῶς λέγοντα ἐν τοῖς τῆς αἰχμαλωσίας αὐτοῦ ὑπομνήμασιν, ὅτι Ἰησοῦς ἐν τῷ ἱερῷ μετὰ τῶν ἱερέων ἡγίαζε. τοῦτο οὖν εὑρόντες λέγοντα τὸν Ἰώσηπον, ἄνδρα ἀρχαῖον ὄντα καὶ οὐ μετὰ πολὺν χρόνον τῶν ἀποστόλων γενόμενον, ἐζητήσαμεν εὑρεῖν καὶ ἐκ τῶν θεοπνεύστων γραφῶν τὸν τοιοῦτον λόγον βεβαιούμενον. εὕρομεν οὖν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ, ὅτι εἰσῆλθεν ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων καὶ ἐδόθη αὐτῷ βιβλίον καὶ ἀνέγνω Ἡσαΐαν τὸν προφήτην λέγοντα· πνεῦμα κυρίου ἐπ’ ἐμέ· οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. ἀνελογισάμεθα δέ, ὅτι εἰ μὴ τάξιν τινὰ λειτουργικὴν παρὰ τοῖς Ἰουδαίοις εἶχεν ὁ Χριστὸς Ἰησοῦς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐδόθη αὐτῷ βιβλίον ἀναγνῶναι εἰς ἀκοὰς τοῦ λαοῦ· οὐδὲ γὰρ παρ’ ἡμῖν τοῖς Χριστιανοῖς ἐπ’ ἐκκλησίας ἔξεστί τινα ἀναγνῶναι τῷ λαῷ βίβλους τῶν θεοπνεύστων γραφῶν, εἰ μή τις ἐν κλήρῳ καταλέγηται. καὶ ἐκ τῶν ὑπὸ Ἰωσήπου γραφέντων καὶ ἐκ τῶν ὑπὸ τοῦ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθέντων ἔγνωμεν, ὅτι Θεοδόσιος ὁ Ἰουδαῖος τὸ προλεχθὲν διήγημα εἰπὼν τῷ μνημονευθέντι Φιλίππῳ τῷ ἀργυροπράτῃ οὐκ ἐπλάσατο τοῦτο, ἀλλ’ ἀληθῶς ὡς γνησίῳ φίλῳ τῷ Φιλίππῳ τὸ παρὰ Ἰουδαίοις ἀποκεκρυμμένον μυστήριον ἐθάρρησεν. ὁ δὲ Χρυσόστομος οὐδ’ ὅλως παραδέχεται τὴν ἱερωσύνην ταύτην ἐπὶ Χριστοῦ.

ι 230 Ἰητήρ: ὁ ἰατρός. καὶ Ἰητρός.

ι 231 Ἰθαγενής: αὐτόχθων, γνήσιος παῖς. ὁ ἰθὺ καὶ ἀδιάστροφον ἔχων τὸ γένος. Ἀγαθίας· τοὺς γοῦν ἐκ παλαιοῦ οἰκήτορας καὶ ἰθαγενεῖς ἀνέκαθεν ἡγεμόνας τὴν γῆν ἀνακομίσασθαι.

ι 232 Ἰθάκη: πόλις. καὶ Ἰθακήσιος, ὁ πολίτης.

ι 233 Ἴθακος: ὄνομα κύριον.

ι 234 Ἰθάμαρ: ὄνομα κύριον.

ι 235 Ἰθαιγενής: ἀντὶ τοῦ ἐνταῦθα γεννηθείς.

ι 236 Ἰθαιμένεος: ὄνομα κύριον.

ι 237 Ἰθέως: ὀρθῶς.

ι 238 Ἰθεῖα: εὐθεῖα, ὀρθή. οὐ γὰρ ἀφαυρῶς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.

ι 239 Ἴθι: ἔρχου, ἢ πορεύου. Ἀριστοφάνης Νεφέλαις· ἴθ’ ἀντιβολῶ σε. πορεύου. νῦν δὲ πείσθητί μοι. ἀντιβολῶ σε, παρακαλῶ σε, Ἀττικῶς. ὁ αὐτὸς ἐν Βατράχοις· ἴθι νῦν, ἐπειδὴ λληματιᾷς. ἀντὶ τοῦ ἄγε. συνωνυμεῖ γὰρ τῷ δεῦρο. σημαίνει καὶ τὸ ἄγε.

ι 240 Ἴθματα: ἴχνη, βήματα, δικαιώματα, ὁρμάς. τὸ δὲ σίνηπι διεκρίθη ὑπὸ τοῦ λεγομένου ἠθμοῦ.

ι 241 Ἴθορος: παροιμιῶδες, ἐπὶ τῶν παρακελευομένων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 242 Ἶβρις: ὁ ἐκτομίας. οὗ ἡ ἰσχὺς τεθέρισται· καὶ ζήτει ἐν τῷ ἄρρεν.

ι 243 Ἰθώμη: ὄνομα πόλεως.

ι 244 Ἰθωμήτης: ὄνομα κύριον.

ι 245 Ἰθὺ καὶ Ἰθὺς ἐπ’ εὐθείας. Ἡρόδοτος· ἐκ μὲν δὴ τῆς ἰθείας στρατὸν ἐπ’ αὐτὸν οὐκ ἐδόκεε πέμπειν, ἅτε οἰδεόντων ἔτι τῶν πραγμάτων. ἀντὶ τοῦ ἐκ τοῦ προφανοῦς, παρευθύ.

ι 246 Ἰθύνει· αἰτιατικῇ. διοικεῖ, κατευθύνει, ὀρθοῖ.

ι 247 Ἰθυντήρ: ὁδηγός, κυβερνήτης, χαλινός, πηδάλιον.

ι 248 Ἴθυσεν: ἐπ’ εὐθείας ὥρμησεν.

ι 249 Ἰθυτενές: εἰς εὐθεῖαν τεταμένον.

ι 250 Ἰθύφαλλοι: οἱ ἔφοροι Διονύσου καὶ ἀκολουθοῦντες τῷ φαλλῷ, γυναικείαν στολὴν ἔχοντες. λέγεται δὲ φαλλὸς ὁτὲ μὲν τὸ ἐντεταμένον αἰδοῖον, καὶ ποιήματα δὲ καλεῖσθαι, ἃ ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾄδεται μετ’ ὀρχήσεως.

ι 251 Ἰθύφαλλοι: οἱ εἰς τοὺς μηροὺς μόνον, οὐχὶ δὲ καὶ ἐν τοῖς τραχήλοις ἐπ’ εὐθείας δεσμούμενοι, ἐξ ἐρυθρῶν δερμάτων. εἴρηται ἐν τῷ περὶ φαλλοῦ.

ι 252 Ἵκανε: παρεγένετο.

ι 253 Ἱκανός: ὁ ἀρκῶν. ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν. Ἀριστοφάνης Πλούτῳ· ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσι; καὶ Ἱκανός, ὁ θεός.

ι 254 Ἱκανῶς ἔχω· γενικῇ.

ι 255 Ἰκαριεύς: δῆμος φυλῆς τῆς Αἰγηΐδος.

ι 256 Ἰκάριος: ὄνομα κύριον.

ι 257 Ἴκαρος: ὄνομα κύριον.

ι 258 Ἱκεσία: ἡ ἱκέτευσις.

ι 259 Ἱκέσιος: ὁ ἱκέτης.

ι 260 Ἱκέσθην: παρεγένοντο.

ι 261 Ἱκετάονος: ὄνομα κύριον.

ι 262 Ἱκέτευμα: τὸ δουλοπρεπῶς παρακαλεῖν καὶ ἱκετεύειν. ὁ δὲ Αὔγαρος ἀπήντησε Τραϊανῷ προσιόντι καὶ συγγνώμης ἔτυχεν· ὁ γὰρ παῖς λαμπρόν οἱ ἱκέτευμα ἦν.

ι 263 Ἱκετεύω· αἰτιατικῇ.

ι 264 Ἱκετεία, ἡ ἱκεσία. Ἱκετεία δὲ ἱκετηρίας διαφέρει. ἱκετεία μέν ἐστιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέους. Ἀντιφῶν· περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη δείσας, μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν. ἱκετηρία δέ ἐστιν, ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν.

ι 265 Ἱκετηρία: ὁ θαλλὸς τῆς ἐλαίας. ὁ δὲ Αἰσχίνης ἐν τῇ Ἀπολογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος, στέμματι ἐστεμμένος.

ι 266 Ἱκέτης: ὁ δουλοπρεπῶς παρακαλῶν καὶ δεόμενος περί τινος ὁτουοῦν.

ι 267 Ἱκέτω: παραγενέσθω.

ι 268 Ἰκμάζω: ὑγραίνω. καὶ Ἰκμάς, ἡ ὑγρασία.

ι 269 Ἴκμενον: πορευτικὸν ἄνεμον.

ι 270 Ἱκνοῦμαι: ἔρχομαι, ἱκετεύω. καὶ Ἱκνούμενος, παρακαλῶν.

ι 271 Ἰκόνιον: ὄνομα πόλεως. καὶ Ἰκονιαῖος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 272 Ἵκοντο: παρεγένοντο.

ι 273 Ἵκου: ἐλθέ. ἀλλ’, ὦ ταλαίπωρ’ Οἰδίπους, κλύων ἐμοῦ ἵκου πρὸς οἴκους.

ι 274 Ἵκω: καταλαμβάνω.

ι 275 Ἰκρία: ὀρθὰ ξύλα, ἢ σανιδώματα τῆς νηός. καὶ τὰ τῶν θεάτρων, ἃ ἦσαν καὶ ἐν ταῖς ἐκκλησίαις· ἐπὶ ξύλων γὰρ ἐκάθηντο. πρὶν γένηται τὸ θέατρον, ξύλα ἐδέσμευον καὶ οὕτως ἐθεώρουν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· ὥστ’ εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων ὑποβλέπους’ ἡμᾶς. προβλήματα δὲ ξύλων κατὰ τῶν ἡμιτελέστων ἐφίστασαν καὶ ἴκρια προσπήξαντες διαβάσεις παρὰ σφᾶς ἐμηχανῶντο.

ι 276 Ἴκριον. ἰκρίῳ Ἰουδαῖοι τὸν σωτῆρα προσήλωσαν. ἴκριον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι τοῦ κενοταφίου. Θουκυδίδης. γνώρισμα ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ δυστυχίᾳ τετελευτηκότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων.

ι 277 Ἶκταρ: πλησίον. ἐγγύς· εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι. καὶ παροιμία· οὐδ’ ἶκταρ βάλλει. εἴρηται δὲ κατὰ γλῶτταν ὥσπερ τὸ διωλύγιον.

ι 278 Ἰκτεριᾶν· ὅτι τοῖς ἰκτεριῶσι πᾶς χυμὸς δοκεῖ πικρὸς εἶναι διὰ τὸ τὴν ὑγρότητα τὴν περὶ τὴν γλῶτταν τοῦτον ἔχειν τὸν χυμόν, οὗ πρῶτον γευομένη οὐκ ἀντιλαμβάνεται τῶν προσφερομένων. ζητήσειε δ’ ἄν τις· εἰ πικρὸς ὁ περὶ τὴν γλῶτταν χυμός, ἔδει, ὁπηνίκα προσφέρεται τὸ μέλι, ἧττον δοκεῖν πικρὸν εἶναι, ἐμμιγμένου τοῦ γλυκέος καὶ κολάζοντος τὴν ἀμετρίαν τοῦ πικροῦ· νῦν δέ, ὅταν προσφέρηται τὸ γλυκύ, τότε τῆς πικρίας μᾶλλον ἀντιλαμβάνεται. ἀλλὰ διὰ τὸ ἠρεμεῖν πρὸ τούτου τὴν αἴσθησιν οὐκ ἀντιλαμβάνεται τοῦ περὶ αὐτὴν χυμοῦ· ἐπεὶ ἐὰν μηδενὸς προσενεχθέντος κινηθῇ, μᾶλλον αἰσθήσεται τῆς πικρότητος. ὥσπερ οὖν ὁ ὑγρὰν ἔχων τὴν γλῶτταν ἧττον αἰσθάνεται, οὕτω καὶ ὁ ἄγαν ξηράν· δεῖ γὰρ παθεῖν τι τὸ αἰσθητήριον ὑπὸ τοῦ γευστοῦ, ὑγροῦ ὄντος. τὸ δὲ ἄγαν ξηρὸν ἧττον πάσχει ὑπὸ τοῦ ὑγροῦ καὶ διὰ πλείονος χρόνου. δηλοῦσι δὲ αἱ κατεξηραμέναι τῶν βυρσῶν ἐπὶ πολὺν χρόνον μὴ πάσχουσαι ὑπὸ τοῦ ὑγροῦ.

ι 279 Ἴκτερος: νόσος ἐκ χολῆς συνισταμένη. τοὺς ἰκτέρῳ χρωσθέντας ὥσπερ χρυσίῳ. λέγουσι δὲ εἶναι πόνον ὠχροειδῆ ἀπὸ θυμοῦ ἐγειρόμενον ὥστε τοὺς ὀφθαλμοὺς τῶν κεκρατημένων ὠχροὺς καὶ μέλανας ποιεῖν, ὡς καὶ τῶν ἰκτίνων, ἀφ’ οὗ καὶ καλεῖται. ὅτι οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται πρὸς ὄρνιν τὸν χαραδριὸν ἀποβλέψαντες. καὶ ζήτει ἐν τῷ χαραδριός.

ι 280 Ἱκτῆρας: ἱκετευτικούς. ἵστασθε, τούσδ’ ἄραντες ἱκτῆρας κλάδους.

ι 281 Ἴκτις, ἴκτιδος. εἶδος ζῴου, ὡς οἱ κάστορες. ἢ ἔνυδρόν ἐστιν, ἰχθυοφάγον. καὶ Κτιδέα, τὸ τοῦ αἰλούρου δέρμα.

ι 282 Ἴκτινα: ὄνομα κύριον.

ι 283 Ἴκτινος: εἶδος ὄρνιθος ἁρπακτικοῦ ἐν ἔαρι φαινομένου. καὶ παροιμία· προκυλινδεῖσθαι ἰκτίνοις. ἔαρος γὰρ ἀρχομένου ἴκτινος φαίνεται· ἐφ’ ᾧ ἡδόμενοι ἐκυλινδοῦντο, ὡς ἐπὶ γόνυ πίπτοντες εἰς βασιλέα· ἴδιον γὰρ βασιλέων τὸ ἐξ ἀνθρώπων γονυπετεῖσθαι. ἢ ὅτι τὸ διὰ μεταβολῆς καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν· οἱ γὰρ ἴκτινοι τὸ ἔαρ σημαίνουσιν. οἱ πένητες οὖν ἀπαλλαγέντες χειμῶνος προεκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς.

ι 284 Ἴκτινος: εἶδος ὀρνέου. οὐ γὰρ οἶμαι ῥᾴδιον ἐν γήρᾳ μετατιθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ τοῦ ἰκτίνου μῦθον· ὃς ὄρνις ὤν, ἐπιθέμενος τῷ χρεμετίζειν ἀμφοῖν ἁμαρτεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος.

ι 285 Ἰλλάδες: οἱ δεσμοί.

ι 286 Ἰλαδόν: ἐν ἀθροίσει, κατὰ ἴλας. δηλοῖ δὲ καὶ τὸ δασύ.

ι 287

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἵλαθι: ἵλεως ἔσο.

ι 288 Ἵλαος: ὁ ἵλεως, καὶ εὐμενής.

ι 289 Ἰλαπινάζω: εὐωχοῦμαι.

ι 290 Ἰλαπίνας: θυσίας, ἑορτάς, εὐωχίας.

ι 291 Ἱλάριος, Ἀντιοχεύς, τῆς ἐν Συρίᾳ πόλεως, ἐν τῷ βουλευτηρίῳ τὰ πρωτεῖα φέρων· ἐπιεικὴς δὲ τὴν φύσιν ὢν καὶ φιλομαθὴς καὶ προσέτι ὀξὺς ἐν τοῖς λόγοις καὶ βιβλίων παντοδαπῶν εὐπορώτατος, ὅμως ὀψιμαθὴς ἐγεγόνει λόγων φιλοσόφων. πολιτεύεσθαι γὰρ ἀναγκαζόμενος τὰ κοινὰ πολιτεύματα τῆς πατρίδος οὐδεμίαν εἶχε σχολὴν πρὸς φιλοσοφίαν. ἐνῆν δὲ αὐτῷ δυσάγωγον ἦθος ἐν τῇ νεότητι πρὸς σωφροσύνην· ὥστε καὶ τοῦτο πολλὴν ἀσχολίαν παρείχετό οἱ πρὸς καλλίω βίον. ἀλλὰ γὰρ ἡ τύχη σοφώτερον τούτῳ κατέστη καὶ ὁ καιρός, ἅμα παρηκούσης ἤδη τῆς ἀκρατοῦς ἡλικίας. ἀτύχημα γάρ τι συνέβη κατὰ τὸν οἶκον, ὅπερ εὐτύχημα ἀπέβη κατὰ τὸ ἀληθέστερον· ἡ γὰρ γυνὴ αὐτοῦ τῶν οἰκείων τινὶ συμφθειρομένη κατείληπτο. ὁ οὖν οἰκοφθόρος τὸ ἐπιτήδευμα ῥήτωρ ἐγεγόνει, Μόσχος δὲ ὄνομα. τυγχάνων δὲ τοῦ Ἱλαρίου τινὸς εὐνοίας καὶ οἰκειότητος ἄδικος ἐφάνη περὶ τὸν εὐεργέτην· ἑάλω γὰρ συνὼν τῇ γυναικί. καὶ ὃς οὐδὲν ταραχθεὶς ἐπὶ τῇ συμφορᾷ πρᾶγμα ἐποίησεν ἀνδρείας τε καὶ φρονήσεως ἐχόμενον. τὸν γὰρ ἄνδρα παραλαβὼν ἐξέστη μὲν αὐτῷ τῆς γυναικός, ἐξέστη δὲ τοῦ σφετέρου κλήρου, ἐφ᾽ ᾧ τε κατὰ τὸν νόμον ἐκεῖνον βουλεύειν· αὐτὸς δέ, καὶ γὰρ ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν, ἀπολιπὼν τὴν πατρίδα μετεσκευάσατο τὸν βίον πρὸς τοὺς φιλοσόφους, εἰς Καρίαν τε καὶ Λυδίαν μεταναστάς. Ἀθήναζε γὰρ ἀφικόμενος ἠβούλετο τοῦ Πρόκλου ἀκροάσασθαι καὶ λόγων φιλοσόφων. ὡς δὲ οὐκ ἤνεγκεν αὐτοῦ τὴν τρυφὴν ὁ Πρόκλος, ἀκηκοὼς αὐτὸν ἐληλυθέναι μετὰ τῶν παλλακίδων καὶ τῆς συνήθους ἔτι ἐκδιαιτήσεως, ἀναχωρήσας Ἀθήνηθεν ὁ Ἱλάριος ἄλλον μετεδίωκε τρόπον ὠφελείας τὸν συμμετρότερον ἢ κατὰ τὸν Πρόκλειον.

ι 292 Ἱλάριος, ὁ ἐκ Φρυγίας, ἐπὶ Ἰοβιανοῦ βασιλέως Ῥωμαίων. κατὰ παιδείαν μὲν ἦν ἀνὴρ οὐ γνώριμος, κοινωνεῖν δὲ αὐτῷ θεὸς ἐδόκει τῆς κοινωνίας τοῦ μέλλοντος, ὥστε ἦν μάντις ἄριστος.

ι 293 Ἱλαρίων, Ἱλαρίωνος.

ι 294 Ἱλαρός: εὔχαρις, ἀστεῖος, ἡδύς. Ἀππιανός· σὺν βοῇ ἱλαρᾷ καὶ θορύβῳ χρηστῷ παρέπεμπον αὐτὸν καὶ θαρρεῖν ἐκέλευον. ἐπέπρεπε δὲ αὐτῷ μάλιστα τὸ τῆς ψυχῆς ἱλαρόν.

ι 295 Ἱλαροῖς· ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον.

ι 296 Ἱλαρώτερος: εὐπροσιτότερος.

ι 297 Ἴλας: ἀγέλας, ἢ τάξεις. καὶ ἰλάρχας, ταξιάρχας. Ἴλη γὰρ συστροφή, τάξις ὄχλου ἱππικοῦ.

ι 298 Ἰλλάς: τὸ σχοινίον. καὶ Ἰλλάσι, τοῖς δεσμοῖς.

ι 299 Ἱλάσθητι· δοτικῇ. ἵλεώς μοι γένοιο.

ι 300 Ἱλάσκεσθαι: ἐξιλεοῦσθαι.

ι 301 Ἰλάσκονται: περὶ τὸν αὐτὸν εἰλοῦνται τόπον, ἢ ἐν κύκλῳ πλανῶνται.

ι 302 Ἱλασμός: εὐμένεια, πραότης, συγχώρησις. εἴτε διαλλαγή.

ι 303 Ἱλαστήριον: θυσιαστήριον.

ι 304 Ἰλεδανοί: οἱ δεσμοί.

ι 305 Ἰλεός: ἡ κατάδυσις τοῦ ὄφεως, ὁ φωλεός. σημαίνει δὲ καὶ ὄνομα νόσου περὶ τοὺς ἵππους γινόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 306 Ἱλεοῦμαι· αἰτιατικῇ.

ι 307 Ἵλεω: πρᾶον. καὶ Ἵλεως, τὸ Ἀττικόν, εὐμενής.

ι 308 Ἱλεωτήριον: ἱλαστήριον.

ι 309 Ἰλεύς: ὄνομα κύριον.

ι 310 Ἴλλειν: συνέχειν.

ι 311 Ἴλη: σύστημα. συστροφή, τάξις ὄχλου ἱππικοῦ. κυρίως δὲ φατρία. μία δ᾽ ἐκκλησίας ἀνδρῶν ἴλη. Εὐνάπιος· τότε δὲ ἴλη τῶν καταφράκτων ἱππέων ὑπὲρ τοὺς υʹ ἐς τοὺς ὀπισθοφύλακας κατερράγη.

ι 312 Ἱλήκοις: ἵλεως καὶ εὐμενὴς γενοῦ. ἐν Ἐπιγράμμασι· ἱλήκοις, Διόνυσε, τεῆς ἀμέλησα χορείης.

ι 313 Ἰλιάς: τὸ πλῆθος.

ι 314 Ἰλιὰς κακῶν: ἐπὶ τῶν μεγάλων κακῶν.

ι 315 Ἰλιβηνοί: ὄνομα ἔθνους.

ι 316 Ἰλιγγιᾷ: ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος· καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον. ἰστέον ὅτι εἰλιγγιῶ διὰ διφθόγγου, ἴλιγγος δὲ διὰ τοῦ ι.

ι 317 Ἰλιεύς: ὁ ἀπὸ τῆς Ἰλίου πόλεως. καὶ Ἰλιέων.

ι 318 Ἰλίεια Ἀθηνᾶ: ἡ παρ᾽ Ἰλιεῦσι τιμωμένη.

ι 319 Ἰλλίζω: διανεύω.

ι 320 Ἴλιον: ἡ τῆς Φρυγίας πόλις. ὅτε τὰ κατὰ τοὺς Ἀργοναύτας ἐπράχθη, τηνικαῦτα παρ᾽ Ἕλλησιν ἐχρημάτιζε καὶ Ἐρυθρὰ Σίβυλλα· κατὰ δὲ τὴν Φρυγῶν χώραν Τρώς, ὁ πατὴρ Ἴλου καὶ Γαννυμήδους, ἐβασίλευσε κτίσας τὴν μὲν Τροίαν εἰς ἴδιον ὄνομα, τὸ δὲ Ἴλιον εἰς ὄνομα τοῦ υἱοῦ αὐτοῦ. καὶ πληρώσας τὰς πόλεις πάντας τοὺς τοπάρχας ἐν τοῖς ἐγκαινίοις προετρέψατο δίχα Ταντάλου τοῦ βασιλέως τῆς Θρᾴκης. καὶ μετά τινα χρόνον ἀπέστειλε τὸν υἱὸν αὐτοῦ Γαννυμήδην τὸν ἀγαπώμενον ὑπ᾽ αὐτοῦ σφόδρα θυσίαν ἀπάγειν καὶ δῶρα τῷ Εὐρωπαίῳ Διῒ ὑπὲρ εὐχαριστίας, δεδωκὼς αὐτῷ ἄνδρας πεντήκοντα. νομίσας οὖν ὁ Τάνταλος ὅτι κατάσκοπος ἐπέμφθη τῆς αὐτοῦ βασιλείας, ἐκράτησεν αὐτὸν πρὶν ἢ καταλαβεῖν τὸ ἱερόν. καὶ μαθὼν τὴν αἰτίαν ἐθεράπευσεν. ὁ δὲ μικρὸν διατρίψας καὶ νόσῳ πιεσθεὶς ἐτελεύτα. λυπηθεὶς δὲ ὁ Τάνταλος αὐτὸν μὲν ἔθηκεν ἐν σορῷ, τοὺς δὲ σὺν αὐτῷ ἀπέστειλεν ἀπαγγελοῦντας τῷ πατρὶ τὸν ἐκείνου θάνατον. οἱ δὲ ποιηταὶ ἁρπαγῆναι τὸν Γαννυμήδην ὑπὸ τοῦ Διὸς ἔγραψαν, τὸ ὀξὺ τοῦ θανάτου μυθολογήσαντες.

ι 321 Ἰλισσός: ὄνομα τόπου, καὶ ποταμοῦ.

ι 322 Ἰλλόμενος: δεσμευόμενος.

ι 323 Ἴλλον: στρεβλόν, στραβόν· ἢ τυφλόν. Ἀριστοφάνης· ἴλλος γεγένημαι· ὁ δ᾽ οὐδέπω. καὶ τὸ πληθυντικὸν Ἴλλοι.

ι 324 Ἴλλος: ὄνομα κύριον. ὃς ἦν μάγιστρος Ζήνωνος.

ι 325 Ἰλλοῦστον· εὑρὼν δὲ Ἰλλοῦστον φθορέα ἐκρέμασεν ἐπὶ διδύμου ξύλου. τουτέστιν εἰς φοῦρκαν.

ι 326 Ἰλλώπτειν. ἐν Ἐπιγράμμασι· τῷ γλυκερὸν καὶ θῆλυ κατιλλώπτοντι Πριήπῳ.

ι 327 Ἰλλυριοί: βάρβαροι Θρᾳκικοί, οἱ δὲ Περσίδος αὐτούς φασιν. καί φησιν Ἀριστοφάνης· Ἰλλυριοὶ κεκριγότες. ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες. κεκριγότες οὖν διὰ τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος.

ι 328 Ἰλύς: βόρβορος. καὶ Ἰλύσι τὸ πληθυντικόν.

ι 329 Ἰλυσπῶντες: συνειλούμενοι. εἰς τέλμα βοῦν ἐμπεσόντα καὶ ἰλυσπώμενον ἕως τεθνάναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 330 Ἰλυοῖσι: ταῖς καταδύσεσιν. ἑρπετὰ δ’ ἰλυοῖσιν ἐνέκρυφεν.

ι 331 Ἱμᾶν καὶ Ἱμεῖν: ἀντλεῖν· ἀνέλκειν, ἀνασπᾶν.

ι 332 Ἱμάντες: λῶροι, δεσμοί. ἱμάντι τε πολλῷ ξυνδεθῆναι ἐντειλάμενος ἑκάστῳ ἀνδρί.

ι 333 Ἱμάντωσις: δέσις ξύλων ἐμβαλλομένων ἐν τοῖς οἰκοδομήμασιν.

ι 334 Ἱμάς: ὁ λῶρος.

ι 335 Ἵμασεν: ἐμάστιξεν.

ι 336 Ἱμάσθλην: μάστιγα. ἐν Ἐπιγράμμασι· κώπην θ’ ἅμα νηὸς ἱμάσθλην.

ι 337 Ἱμάσσω: πλήξω, πατάξω.

ι 338 Ἱματίδιον: τὸ μικρὸν ἱμάτιον.

ι 339 Ἱματισμένος: ἐνδεδυμένος. ἱματισμένον καὶ σωφρονοῦντα. διὰ τοῦ ι.

ι 340 Ἱματισμός: ἡ ἐσθής.

ι 341 Ἴμβρασος: ὄνομα κύριον.

ι 342 Ἴμβρος: ποταμός, μικρόν· Ἴμβρως δὲ κύριον, μέγα.

ι 343 Ἱμαῖον ᾆσμα: τὸ ἐπὶ τῇ ἀντλήσει λεγόμενον· παρὰ τὸ ἱμᾶν. οἱ δὲ τὸ μυλωθρικόν. καὶ πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον ἔγρει. Καλλίμαχος Ἑκάλῃ.

ι 344 Ἱμαῖος: ἡ ἐπιμύλιος ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον.

ι 345 Ἱμέρα: ὄνομα πόλεως.

ι 346 Ἱμεραία: γραῦς τις. καὶ πόλις· ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν Ἱμεραίαν κατέσχον.

ι 347 Ἱμεραῖος: ὁ ἀπὸ τῆς πόλεως Ἱμέρας.

ι 348 Ἱμέριος, Ἀμεινίου ῥήτορος, Προυσιάδος τῆς Βιθυνίας, σοφιστὴς τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως, ἀντιπαιδεύσας Προαιρεσίῳ ἐν Ἀθήναις· πηρὸς τὰς ὄψεις ἐν γήρᾳ. ἔγραψε μελέτας.

ι 349 Ἱμερίας: ποταμός.

ι 350 Ἱμερόεντα: ἐράσμιον. λάμποντα. ἐν Ἐπιγράμμασι· αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ’ ἀπὸ μαστῶν κεστὸν ἔδωκεν ἔχειν. καὶ Ἱμερόεις, ὁ ἐπιθυμητικός.

ι 351 Ἵμερος: ἡ ἐπιθυμία. ἵμερος αὐτὸν εἰσῆλθε διάπυρος ἰδεῖν Μάρκελλον νεκρόν.

ι 352 Ἱμερτής: ὁ ἐπιθυμητής.

ι 353 Ἱμερτός: καλός, ἐπέραστος, ποθεινός.

ι 354 Ἱμείρω· γενικῇ. καὶ Ἱμείρομαι· γενικῇ. ἐπιθυμῶ. τὸ ἱμείρειν τοῦ βίου καὶ φιλοζωεῖν τῆς μεγίστης ἀγεννείας ἐστὶ σημεῖον καὶ κακίας.

ι 355 Ἱμητόν: τὸ ἀντλητόν. Ἱμονιὰ γὰρ τὸ τοῦ ἀντλήματος σχοινίον. οἱ δὲ Ἄβαροι ἐχώρουν ἵνα ὁ Δάναπρις ἔρρει ποταμός.

ι 356 Ἱμονιά. τὸ δὲ φρέαρ ἅτε ὀρεινὸν ὂν κοῖλον ἦν καὶ βαθὺ ὥστε δεῖν ἱμονιᾶς μακρᾶς. οἱ δὲ αὐτὸ τὸ ἀντλητήριον· παρὰ τὸν ἱμάντα.

ι 357 Ἱμονιοστρόφου μέλη· ἱμονιὰ καλεῖται τὸ ἀντλητήριον τῶν φρεάτων. ἱμαῖον δὲ τὸ ᾆσμα. ἱμονιοστρόφου δὲ τοῦ εὐτελοῦς.

ι 358 Ἱμονιᾶν: ἀποπατεῖν· ἀντὶ τοῦ μακρὰ χέζειν· ἀπὸ τοῦ σχοινίου, δι’ οὗ τὰ ὕδατα ἀρύονται, ὃ καλοῦσιν ἱμονιάν. καὶ Ἀριστοφάνης· πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη; ᾖδον δὲ ᾆσμα οἱ ἀντληταὶ ἱμαῖον.

ι 359 Ἱμῶσα: γεμίζουσα, ἀντλοῦσα.

ι 360

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἵνα: ὅπου. Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας· ὀκνεῖν, ἵνα οὐδὲν ἔργον ὀκνεῖν. καὶ Ἀρριανὸς ἀντὶ τοῦ ὅπου· ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο, ἐστρατοπεδεύσατο. Ἶνα δὲ τὴν δύναμιν, αἰτιατική, καὶ ψιλοῦται καὶ περισπᾶται· ἀπὸ τῆς ἴς εὐθείας.

ι 361 Ἵνα: τούτῳ χρῶνται ἀντὶ τοῦ ἄν. Ὅμηρος· ἵνα μὴ ῥέξωμεν ὧδε.

ι 362 Ἶνα: πόλις.

ι 363 Ἵνα μή σε βάψω βάμμα Σαρδινιακόν: τουτέστιν ἵνα μή σε ἐρυθρὸν ποιήσω τῷ βάμματι μαστίξας· οἷον ἵνα μή σε φοινίξω. νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ· γίνονται δὲ ἐν αὐτῇ πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω. ἐν Σαρδοῖ γὰρ τῆς Ἰταλίας βάμματα πυρρὰ γίνεται.

ι 364 Ἵνα μὴ φάγῃ σκόροδα μηδὲ κυάμους: τουτέστιν ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ. εἰς γὰρ τὸν πόλεμον ἔφερον σκόροδα· οἱ δὲ δικασταὶ ἔτρωγον κυάμους, ἵνα μὴ κοιμηθῶσιν.

ι 365 Ἰνάρωνος.

ι 366 Ἰνάσσω: ἰσχὺν παρέχω.

ι 367 Ἰνάχειον ἄστυ: τὸ τοῦ Ἰνάχου.

ι 368 Ἴνδακος: ὄνομα κύριον. ἤκμαζε δὲ ἐπὶ Λέοντος τοῦ μετὰ Μαρκιανὸν βασιλέως, λαμπρὸς τὴν τόλμαν καὶ τοῖς ποσὶ χρήσασθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων, ταχύτητι ποδῶν διαφέρων. Εὐχίδου γὰρ καὶ Ἀσσάπου καὶ Χρυσομάζου καὶ Ἐχίονος καὶ εἴ τις ἕτερος ἐπὶ ποδῶν ὠκύτητι διεβοήθη, ὀξύτατος ἦν. οὗτος γὰρ ἐξεφαίνετο ὁδεύων καὶ ἠφανίζετο αὖθις, οἷά τις ἀστραπή, κατὰ κρημνῶν οὐ τρέχοντι μᾶλλον ἀλλὰ πετομένῳ ἐοικώς. ἣν γὰρ κέλευθον ἀνὴρ δι' ἵππων ἀμοιβῆς αὐθημερὸν οὐκ ἔσθενε δρᾶσαι, τοῖς ἰδίοις αὐτὸν ποσὶν ἰσχυρίζοντο ἀναλγήτως διατρέχειν. ἀπὸ γὰρ τοῦ ἐρύματος Χέρεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχειαν, καὶ πάλιν τῇ ἑξῆς ἐς τὸ ῥηθὲν εὑρίσκετο φρούριον· ἐκ δὲ τούτου αὖθις μὴ ἀναπαύλης δεόμενος διὰ μιᾶς ἡμέρας εἰς Νεάπολιν ἐγίνετο Ἰσαυρίας.

ι 369 Ἰνγρουσία: παρὰ Ῥωμαίοις τὸ τοῖς ἀσθενέσι διδόμενον σιτίον, ὃ οὔτε ζῆν οὔτε ἀποθνήσκειν ποιεῖ.

ι 370 Ἴνδακος.

ι 371 Ἰνδάλλεται: καταφαίνεται, ὁμοιοῦται.

ι 372 Ἰνδάλματα: φαντάσματα, ὀνείρατα, ἅπερ μὴ παρόντα ὑπονοεῖ τις, ὁμοιώματα, ἀπεικονίσματα. Αἰλιανός· ὄψις οὖν ἰνδάλματος ἱεροῦ ὄναρ ἐπιστᾶσα λέγει ποιήσασθαι μεταβολὴν βίου.

ι 373 Ἰνδικτιὼν καὶ Ἴνδικτος λέγεται.

ι 374 Ἰνδοί: ἔθνος βάρβαρον. κατὰ δὲ τὸν πόλεμον ἦσαν αὐτοῖς σημαῖαι τῶν ἱππέων καθ' ἑκάστην χιλιοστὺν δράκων ἐπὶ κάμακος ἀνατεταμένος, οὗ ἀργυρᾶ μὲν ἡ κεφαλὴ πεποίηται, σεσηρότων ὀδόντων καὶ τοῦ χάσματος ἀπειλὴν ἔχοντος· τὸ δὲ ἄλλο σῶμα σηρικόϋφον ἦν, ἔς τε μῆκος καὶ βάθος καὶ τὸ ποικίλον τῆς χρόας ἐς ἀληθινὸν δράκοντα. τοῦτον φέρων ἱππεύς, μετεωρίσας ἐς τὸν ἀέρα τὴν κάμακα ῥύμῃ διώκει τὸν ἵππον. καὶ ἐμπίπτει μὲν ὥσπερ εἰκὸς ἐλαυνόμενον βίᾳ τὸ πνεῦμα· εἰλούμενον δὲ ἐν τοῖς κόλποις τοῦ κοίλου ὕφους καὶ διέξοδον εὑρεῖν διὰ τὸ στεγανὸν οὐ δυνάμενον κυμαίνει τε εἰς τὸν ἀέρα καὶ μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἑλίσσει τροπάς, ὥσπερ ὁλκὸς δράκοντος ἀληθινοῦ. ὅτι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι,

ι 375 Ἰνδοὶ οὔτε σώμασιν οὔτε χρήμασι συνεμάχησαν κατὰ Ῥωμαίων τῷ βασιλεῖ. οὐ γὰρ ὅσιον αὐτοῖς πολεμεῖν πρὸς ἄνδρας ἀδικουμένους.

ι 376 Ἶνες: νεῦρα. καὶ τὸ πληθυντικὸν Ἰσί.

ι 377 Ἵν᾽ εἰδῇς: ἵνα μάθῃς. Εἰδῶ περισπωμένως. Ἵν᾽ εἰδῆτε, ὅπως μάθητε. ἀλλὰ τούτων μὲν τάχ᾽ ἡμῖν δώσεις δίκην οὐκ ἐς μακράν, ἵν᾽ εἰδῆθ᾽ οἷός ἐστι τρόπος ἀνδρῶν ὀξυθύμων τε καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.

ι 378 Ἰνίον: νεῦρον. ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως ἐπὶ τὰ πλατέα νεῦρα, ἃ δὴ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.

ι 379 Ἶνις: ὁ νέος, ὁ υἱός.

ι 380 Ἴνις: τοὺς ἑτέρους. καὶ Ἴνις, χώρα.

ι 381 Ἰνοῦς ἄχη: αὕτη δύο παῖδας ἔσχε, Λέαρχον καὶ Μελικέρτην, οἳ κατετοξεύθησαν ὑπὸ Ἀθάμαντος. ὕστερον δὲ ἐκλήθη Λευκοθέα.

ι 382 Ἰνώ: ὄνομα θεᾶς.

ι 383 Ἰνωπός: ὄνομα τόπου. λοῦσαι δ᾽ Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ᾽ ἐς οἴκους.

ι 384 Ἴνωψ: ὄνομα κύριον.

ι 385 Ἰννοί: οἱ κολοβοὶ τῶν ἵππων, νάννοι δὲ οἱ κολοβοὶ τῶν ἀνθρώπων. καὶ ναννοφυεῖς.

ι 386 Ἰνοῖ κρεμαμένῃ πρὸ ποδῶν Εὐριπίδου.

ι 387 Ἴξαλος: πηδητικός. ἐν Ἐπιγράμμασι· ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ, Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς κνακὸν ὑπηνήταν τόνδ᾽ ἀνέθηκε τράγον. καὶ αὖθις· πρόσθε μὲν ἀγραύλοιο διατριχὸς ἰξάλου αἰγὸς δοῖον ἐπὶ χώροις ἐστεφόμην πετάλοις.

ι 388 Ἶξε, καὶ Ἶξον· οἳ δ᾽ ἶξον κοίλην Λακεδαίμονα.

ι 389 Ἰξευτής: ἰξευτικός.

ι 390 Ἰξιονίδης.

ι 391 Ἰξίονος.

ι 392 Ἰξιόεν.

ι 393 Ἰξιῶδες.

ι 394 Ἰξίων· οὗτος ἠράσθη τῆς Ἥρας· ἣ δὲ προσαγγέλλει τῷ Διΐ, ὃς βουληθεὶς γνῶναι τοῦτο ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ ἔστησεν. ὁ δὲ Ἰξίων μίγνυται αὐτῇ. καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν τροχῷ διατείνων ἀεὶ φερομένῳ καὶ ἀνακυκλουμένῳ.

ι 395 Ἴξιρος: ποταμός.

ι 396 Ἰξός: ᾧ χρῶνται εἰς ἄγρευσιν πτηνῶν.

ι 397 Ἰξύν: τὴν ὀσφύν. ἐπ᾽ ἠϊόνι ψυχόμενον χηλάς τε καὶ ἰξύας. τουτέστι τὴν ῥάχιν. καὶ αὖθις· ἔκρεκες εὐτάρσοις δι᾽ ἰξύος, ἀχέτα, μολπάν, τέττιξ, οἰονόμοις τερπνότερον χέλυος.

ι 398 Ἰόβακχος: ὄνομα κύριον.

ι 399 Ἰόβας, Λιβύης καὶ Μαυρουσίας βασιλεύς, ὃν λαβόντες καὶ μαστιγώσαντες ἐπόμπευσαν οἱ Ῥωμαῖοι· οὐ μὴν ἀνεῖλον διὰ τὴν παίδευσιν. ἦν δὲ ἐπὶ Αὐγούστου Καίσαρος καὶ τὴν Κλεοπάτρας θυγατέρα Σελήνην, ἣν ἐκ τοῦ Καίσαρος Γαΐου γενομένην ἐπεποίητο, γυναῖκα εἰλήφει. συνήκμαζε δὲ αὐτῷ Δίδυμος ὁ Χαλκέντερος, ὁ καὶ πολλὰ γράψας κατ᾽ αὐτοῦ. ἔγραψε πάνυ πολλά.

ι 400 Ἰοβάτης: ὄνομα κύριον. ὁ πατὴρ Σθενεβοίας, ὃς ἐπετράπη γράμμασι Προίτου ἀνελεῖν τὸν Βελλεροφόντην.

ι 401 Ἰοβιανός, βασιλεὺς Ῥωμαίων ὀρθόδοξος, ὃς ἐπιμέλειαν καὶ φροντίδα πολλὴν ἐποιεῖτο τῶν ἐκκλησιῶν καὶ τοὺς ἐν ἐξορίαις ἐπισκόπους πάντας ἀνεκαλέσατο τῷ τε ἁγίῳ Ἀθανασίῳ ἀπέστειλε τῆς ἀμωμήτου πίστεως ἐγγράφως αὐτῷ σημᾶναι τὴν ἀκρίβειαν. ὁ δὲ ἀπέστειλεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιστολὴν πλήρη ὀρθοδοξίας. οὗτος μετὰ Ἰουλιανὸν ἦρξεν· ὃς ἡνίκα Ἰουλιανὸς αἵρεσιν τοῖς στρατευομένοις ἐτίθει, θύειν ἢ ἀποστρατεύεσθαι, μᾶλλον τὴν ζώνην ἀποθέσθαι ἐβούλετο. ἐλθὼν δὲ ἐς Νίσιβιν πόλιν πολυάνθρωπον δύο μόνον ἡμερῶν ἐνδιατρίψας αὐτῇ, ὅσα περ εἶχε χρήματα κατανάλωσε τοῖς ἐνοικοῦσι μηδενὸς μεταδοὺς ἢ λόγου φιλανθρώπου ἢ πράξεως ἀγαθῆς· ἄνθρωπος οὐ δι᾽ ἀρετὴν οἰκείαν, ἀλλὰ διὰ τὴν τοῦ πατρὸς δόξαν ἐς τοσοῦτον ἀρχῆς προελθών. ἦν μὲν γὰρ οὐδὲ παντάπασιν ἀσθενὴς τὸ σῶμα οὔτε πολεμικοῖς ἔργοις ἀγύμναστος· ἀμελέτητος δὲ ὢν καὶ ἄγευστος παιδεύσεως, καὶ ἣν εἶχε φύσιν διὰ ῥᾳθυμίαν ἠμαύρου καὶ ἠφάνιζεν. οὗτος μετὰ Ἰουλιανόν, ὡς εἴρηται, τῆς Ῥωμαίων βασιλείας ἐγκρατὴς γενόμενος, πάντων καταφρονήσας ἐσπούδαζε τοῦ συμβάντος αὐτῷ ἀξιώματος ἀπολαῦσαι, καὶ φεύγων ἐκ Περσίδος ἔσπευδε γενέσθαι τῶν Ῥωμαϊκῶν ἐθῶν ἐντὸς εἰς ἐπίδειξιν τῆς τύχης, καὶ τὴν Νίσιβιν πόλιν τοῖς Πέρσαις, πάλαι Ῥωμαίοις οὖσαν κατήκοον, ἐκδίδωσιν. ἀπέσκωπτον οὖν αὐτὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλουμένοις φαμώσσοις, διὰ τὴν τῆς Νισίβιδος προδοσίαν. ὁ δὲ Ἰοβιανός, ἐκ τῆς γυναικὸς αὐτοῦ κινηθεὶς τὸν ὑπὸ Ἀδριανοῦ τοῦ βασιλέως κτισθέντα ναὸν χαριέστατον ἐς ἀποθέωσιν τοῦ πατρὸς Τραϊανοῦ, παρὰ δὲ τοῦ Ἰουλιανοῦ κατασταθέντα βιβλιοθήκην εὐνούχῳ τινὶ Θεοφίλῳ, κατέφλεξε σὺν πᾶσιν οἷς εἶχε βιβλίοις, αὐτῶν τῶν παλλακίδων ὑφαπτουσῶν μετὰ γέλωτος τὴν πυράν. οἱ δὲ Ἀντιοχεῖς ἠγανάκτησαν κατὰ τοῦ βασιλέως καὶ τὰ μὲν ἀπέρριπτον τῶν βιβλίων ἐς τὸ ἔδαφος, ὥστε ἀναίρεσθαι τὸν βουλόμενον καὶ ἀναγινώσκειν, τὰ δὲ τοῖς τοίχοις προσεκόλλιζον. ἦν δὲ τοιαῦτα· ἤλυθες ἐκ πολέμου, ὡς ὤφελες αὐτόθ᾽ ὀλέσθαι· καί, Δύσπαρι, εἶδος ἄριστε· καὶ τὰ ἑξῆς. καί, εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω, χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει, αὐτὸν δὲ κλαίοντα θοῶς ἐπὶ Πέρσας ἀφήσω. γραῦς δέ τις μέγαν καὶ καλὸν αὐτὸν θεασαμένη μαθοῦσά τε ἀνόητον εἶναι ἐφθέγξατο· ὅσον μῆκος καὶ βάθος ἡ μωρία. καὶ ἄλλος δὲ ἰδιώτης ἀποτολμήσας, μεγάλῃ τῇ φωνῇ βοήσας ἐν τῷ ἱπποδρομίῳ γέλωτα παρέσχε πᾶσιν εἰπὼν κενὰ καὶ ψυχρὰ τῇ ἡλικίᾳ αὐτοῦ. καὶ ἐπράχθη ἂν ἄτοπα, εἰ μὴ Σαλούστιός τις ἔπαυσε τὴν στάσιν. ὁ δὲ Ἰοβιανὸς χειμῶνος ὄντος ὡδοιπόρει ἐπὶ Κιλικίαν καὶ Γαλατίαν καὶ ἐν Δαδαστάνοις ἀπέθανε μύκητα πεφαρμαγμένον φαγών. κατὰ δὲ τὴν ἡγεμονίαν κοινὸς καὶ ἐλευθέριος ἔδοξεν εἶναι. ὅτι ἐπὶ Ἰοβιανοῦ ἦν Ἀκάκιος ἐπίσκοπος Καισαρείας Παλαιστίνης, ὃς λίβελλον ἔγραψε περὶ ὀρθοδόξου πίστεως, ἀποδεχόμενος τὴν ἐν Νικαίᾳ σύνοδον.

ι 402 Ἰόβις: παρὰ Ἰταλοῖς ὁ Ζεύς.

ι 403 Ἰόβειοι καὶ Ἑρκούλειοι: ὀνόματα τάξεων. τάγματα γάρ τινα ἦσαν δαίμονος ἐπώνυμα. Ἰόβις γὰρ παρὰ Ἰταλοῖς ὁ Ζεύς, Ἑρκούλιος δὲ ὁ Ἡρακλῆς.

ι 404 Ἰοβόλος: ὁ ὄφις.

ι 405 Ἰόδδας: ὄνομα κύριον.

ι 406 Ἰοδόκη: βελοθήκη.

ι 407 Ἰόεντα σίδηρον: τὸν μέλανα· ὡς ἰοειδέα πόντον, τὸν μέλανα. βέλτιον δὲ εἰς ἰοὺς εὐθετοῦντα.

ι 408 Ἰοειδές: τὸ μέλαν. καὶ Ἰοειδής.

ι 409 Ἰοθόρ: ὁ πενθερὸς Μωϋσέως.

ι 410 Ἰοκάστη: ὄνομα κύριον. καὶ ζήτει ἐν τῷ Οἰδίπους.

ι 411 Ἰόλαος: ὄνομα κύριον. ἥρως τις τιμώμενος παρὰ Ἀθηναίοις. Ἰόλεως δὲ Ἀττικῶς.

ι 412 Ἰόλεια.

ι 413 Ἰόλη: ὄνομα κύριον.

ι 414 Ἰόμωρος.

ι 415 Ἴον: τὸ ἄνθος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 416 Ἴονθος: ἡ πρώτη ἔκφυσις τῶν τριχῶν, ἀπὸ τοῦ ἰέναι καὶ ἀνθεῖν.

ι 417 Ἰόνιον πέλαγος: ὁ νῦν Ἀδρίας. καὶ Ἰόνιος κόλπος.

ι 418 Ἰόντες: πορευόμενοι.

ι 419 Ἰόπη: ὄνομα κύριον.

ι 420 Ἰόππη: ὄνομα τόπου.

ι 421 Ἰορδάνεια ῥεῖθρα.

ι 422 Ἰορδάνης ὁ ποταμὸς ἐκλήθη διὰ τὸ συμμίγνυσθαι δύο ἅμα ποταμούς, Ἴορ καὶ Δάνην.

ι 423 Ἰόρτιος: ὄνομα κύριον. ὁ τοίνυν Ἰόρτιος οὐκ ἔχων ὅ τι παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης· ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶν ἡ τράπεζα καὶ ἄγαν περιφερής; ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ ὡς τὸ εἰκὸς γέλως κατερράγη· ἐγγώνιος γὰρ ἦν καὶ οὐ στρογγύλη ἡ τοῦ Μαικήνα τράπεζα. Πλούταρχος.

ι 424 Ἰοστέφανοι· Πίνδαρος· αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι.

ι 425 Ἰότητι: βουλήσει, γνώμῃ. Ἄρτεμι, σῇ δ' ἰότητι γάμος θ' ἅμα καὶ γένος εἴη τῇ Λυκομηδείου παιδὶ φιλαστραγάλῃ.

ι 426 Ἰού: σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ οἴμοι. καὶ Ἰού, ἰού, σχετλιαστικὸν ὁμοίως ἐπίρρημα.

ι 427 Ἰοῦ, ἰοῦ: τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται.

ι 428 Ἰουβενάλιος, ποιητὴς Ῥωμαῖος. οὗτος ἦν ἐπὶ Δομετιανοῦ βασιλέως Ῥωμαίων. ὁ δὲ Δομετιανὸς ἐφίλει τὸν ὀρχηστὴν τοῦ πρασίνου μέρους, τὸν λεγόμενον Πάριν, περὶ οὗ καὶ ἐλοιδορεῖτο ἀπὸ τῆς συγκλήτου καὶ Ἰουβεναλίου τοῦ ποιητοῦ. ὅστις βασιλεὺς ἐξώρισε τὸν Ἰουβενάλιον ἐν Πενταπόλει ἐπὶ τὴν Λιβύην, τὸν δὲ ὀρχηστὴν πλουτίσας ἔπεμψεν ἐν Ἀντιοχείᾳ· ὃς κτίσας οἶκον καὶ λουτρὸν ἔξω τῆς πόλεως ἐκεῖ τελευτᾷ.

ι 429 Ἰούδας καὶ Ἰουδαῖος. ὅτι Δαμόκριτος ἱστορικὸς περὶ Ἰουδαίων φησί· χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν καὶ κατὰ τριετίαν ξένον ἀγρεύοντες προσέφερον καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον καὶ οὕτως ἀνῄρουν.

ι 430 Ἰουδήθ· ὅτι ἐπὶ Ξέρξου, τοῦ βασιλέως Περσῶν, οἱ τῶν Αἰθιόπων βασιλεῖς ἐπανίστανται Πέρσαις, καὶ τοῦ βασιλέως κατ' ἐκείνων στρατεύσαντος, οἱ Ἰουδαῖοι πρὸς ἀπόστασιν εἶδον καὶ καταφρονήσαντες αὐτοῦ ἐπὶ τὴν Ἱερουσαλὴμ ἀνῆλθον. οὗτος δὲ περιγενόμενος τῶν Αἰθιόπων ἐπὶ τοὺς Ἰουδαίους στρατεύει Ὁλοφέρνῃ τὸν κατ' αὐτῶν πόλεμον ἐπιτρέψας. πολιορκοῦντος τοίνυν Ὁλοφέρνου τὴν Ἱερουσαλήμ, γυνή τις, ὄνομα Ἰουδήθ, προσποιησαμένη τὴν φιλοῦσαν αὐτόν, ὡς ἐκάθευδε, νυκτὸς ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν καὶ ἀνασκολοπίσασα ταύτην ἐπὶ τοῦ τείχους φυγεῖν παρεσκεύασε τοὺς Πέρσας· οὕτω τε τῆς πολιορκίας λυθείσης ἀπηλλάγησαν οἱ Ἰουδαῖοι τοῦ φόβου. ὁ δὲ τῶν Ἰουδαίων ἱερεὺς Νεμεσίας παρρησίαν ἔχων πρὸς αὐτὸν ἔπεισεν αὐτὸν εἰρήνην σπείσασθαι πρὸς αὐτοὺς καὶ συγχωρῆσαι αὐτοῖς ἀνακτίσασθαι τὴν Ἱερουσαλήμ, Ἔσδρα προηγουμένου αὐτῶν. Ἰούλιος δὲ Ἀφρικανὸς λέγει, ὅτι Ναβουχοδονόσορ, ὁ καὶ Καμβύσης, ἀναιρεῖται ὑπ' αὐτῆς.

ι 431 Ἰουδήθ, Ἑβραία ἡ τὸν Ὁλοφέρνην, τὸν ἀρχιστράτηγον Καμβύσου τοῦ υἱοῦ Κύρου, ἀνελοῦσα, τὰ τοῦ Ὁλοφέρνου πάντα λαβοῦσα ταῦτα ἀνέθηκε τῷ θεῷ· καὶ ὑποστρέψασα ἐν τῷ οἴκῳ αὐτῆς, ἀρετὴν καὶ ἄσκησιν ἔχουσα ἐτελεύτησεν ρε' ἔτη βιώσασα.

ι 432 Ἰουθοῦγγοι: ὄνομα ἔθνους. οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥωμαίους.

ι 433

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰουλιανός, Χαλδαῖος, φιλόσοφος, πατὴρ τοῦ κληθέντος θεουργοῦ Ἰουλιανοῦ. ἔγραψε περὶ δαιμόνων βιβλία δʹ. ἀνθρώπων δέ ἐστι φυλακτήριον πρὸς ἕκαστον μόριον, ὁποῖα τὰ τελεσιουργικὰ Χαλδαϊκά.

ι 434 Ἰουλιανός, ὁ τοῦ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε καὶ αὐτὸς Θεουργικά, Τελεστικά, Λόγια δι’ ἐπῶν· καὶ ἄλλα ὅσα τῆς τοιαύτης ἐπιστήμης κρύφια τυγχάνουσιν. ὅτι τοῦτόν φασι δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων, ἐξαίφνης ποιῆσαι νέφη τε ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλασιν ἐπαλλήλοις· καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάσασθαι Ἰουλιανόν. οἱ δέ φασιν Ἄρνουφιν, τὸν Αἰγύπτιον φιλόσοφον, τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

ι 435 Ἰουλιανός, Δόμνου, ἀπὸ Καισαρείας Καππαδοκίας, σοφιστής, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ· γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

ι 436 Ἰουλιανός, Ἁλικαρνασεύς, ἀναρρῶσαι ἠβουλήθη τὴν Σεβήρου κακοδοξίαν, ἄφθαρτον εἶναι φάσκων τὸ σῶμα τοῦ Χριστοῦ καὶ θεοῦ, αὐτῆς γε δήπου τῆς ἐν τῇ νηδύϊ τῆς θεότητος ἑνώσεως καὶ τοῦ σώματος, καὶ πρώην γε τῆς ἐκ τῶν κατοιχομένων τοῦ Χριστοῦ ἀναστάσεως. λοιπὸν ἐκ τοῦ τοιοῦδε εἰσάγεσθαι, οὐκ ἐνεργείᾳ τινὶ τοὺς Ἰουδαίους αἰκίσασθαί τε καὶ θανατῶσαι τὸν Χριστόν. ἅτε οὖν σκάζουσά τε καὶ οὐκ ἐρρωμένη ἡ δόξα, πρὸς τῶν πάλαι θεσπεσίων πατέρων ἐξωθισθεῖσα ἐτύγχανε. τότε δὴ Ἰουλιανὸς εἴτε ὑπὸ τοῦ γήρως τὰ καιριώτατα οὐ φρονῶν εἴτ’ οὖν ὑπερβολῇ τῆς πρὸς Χριστὸν ἐπιμελείας, τῆς ἀληθοῦς τε καὶ ἀπταίστου δόξης ἐπέκεινα ἐκπεσών, εἴτε καὶ ἑτέρου τινὸς ἀναδιδάξαντος· ὑποψιθυρίζεται γὰρ καὶ τοῦτο, ὡς πόλεώς τινος ἱερεὺς ταύτην δήπου τὴν κακίστην δόξαν Ἰουλιανῷ εἰσηγήσατο· ἔμελλεν οὖν τὴν ὀρθογνώμονα τοῦ Χριστοῦ δόξαν διακηρύττειν· καὶ δὴ Μαρῖνον τὸν ἀπὸ Κάρρων τῆς ἐν Συρίᾳ πόλεως ἔστειλεν ἀνὰ τὴν ἕω βεβαιῶσαι τὸ δόγμα, εἰ μὴ μετὰ βραχὺν χρόνον ᾤχετο ἐξ ἀνθρώπων. ὅτι ὁ Ἰουλιανὸς οὗτος τῆς Σευήρου κακοδοξίας προστάτης ἐγένετο εὐθυμότατος, Σευήρου μὲν μίαν φύσιν λέγοντος τὸν Χριστὸν καὶ τὴν ἐν τῷ Χριστῷ διαφορὰν δεχομένου, Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ Σεβῆρον φάσκοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφοράν.

ι 437 Ἰουλιανός, ὁ παραβάτης καὶ ἀποστάτης, Ῥωμαίων βασιλεύς, Κωνσταντίνου βασιλέως τοῦ μεγάλου ἀνεψιός, ἀπὸ Δαλμάτου ἀδελφοῦ αὐτοῦ καὶ μητρὸς Γάλλας τοὔνομα. ἔγραψε τοὺς καλουμένους Καίσαρας· περιέχει δὲ τοὺς ἀπὸ Αὐγούστου Ῥωμαίων βασιλεῖς· ἑτέραν βίβλον περὶ τῶν τριῶν σχημάτων· καὶ τὰ καλούμενα Κρόνια· καὶ τὸν Μισοπώγωνα ἢ Ἀντιοχικόν· Περὶ τοῦ πόθεν τὰ κακά, καὶ Πρὸς τοὺς ἀπαιδεύτους· Πρὸς τὸν κύνα Ἡράκλειτον πῶς κυνιστέον· ἐπιστολὰς παντοδαπάς, καὶ ἄλλα. ὅτι περὶ τοῦ Ἐμπεδοτίμου λέγει ὁ παραβάτης οὕτως ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις· ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξε καὶ ἱεροφάντωρ Ἰάμβλιχος. ὅτι ἐπὶ τὸν Ἰουλιανὸν πολλαὶ δίκαι ἐχώρουν, χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος· ἀναβολαί τε οὐκ ἦσαν ἐπ’ αὐταῖς, ὅσαι νόμιμον ἐκ τῶν συνήθων γραμμάτων τὸ ἄδικον ἴσχουσιν εἰς βοήθειαν τῶν ἀδικούντων καὶ προειληφότων· ἀλλ’ ἢ παραχρῆμα ἔδει τὸ ἶσον ἐλέγχεσθαι κατὰ φύσιν, ἢ τὸ μέλλον καὶ διωθούμενον εἰς τὸν χρόνον ὕποπτον ἦν. βαρὺς μὲν οὖν καὶ λυπηρὸς ἐτύγχανε, καὶ ἐπὶ τοῖσδε καὶ τὸ τῶν πονηρῶν ἔθνος καὶ ἀδικούντων διηγείρετο. οὐ γὰρ ἀδικεῖν ἐξῆν οὐδὲ λανθάνειν ἀδικοῦσι. βαρύτερον δὲ αὐτὸν ἀπεδείκνυε τοῖς μοχθηροῖς καὶ τὸ εὐπρόσοδον. οἷα γὰρ προϊόντος μὲν πολλάκις διὰ τὰς ἱερομηνίας καὶ θυσίας, ἡμέρου δὲ φύσει πρὸς πᾶσαν ἔντευξιν τυγχάνοντος, ἀκώλυτον τοὺς δεομένους λόγου τυχεῖν. ὁ μὲν οὖν ἐλάχιστον τῆς ὑπὸ τῶν πονηρῶν ταύτης βλασφημίας τε καὶ ὀργῆς ᾐσθάνετο καὶ ἐφρόντιζε. περὶ τῆς τελευτῆς Ἰουλιανοῦ τοῦ παραβάτου, τοῦ ἀθέου· ἀλλ’ ὁπόταν σκήπτροισι τεοῖς Περσήϊον αἷμα ἄχρι Σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς, δὴ τότε σε πρὸς Ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφὶ θυελλίῃσι κυκώμενον ἐν στροφάλιγξι, ῥίψαντα βροτέων ἐθέων πολύτλητον ἀνίην. ἥξεις δ’ αἰθερίου φάεος πατρώϊον αὐλήν, ἔνθεν ἀποπλαγχθεὶς μεροπήϊον ἐς δέμας ἦλθες. ἔστι δὲ καὶ ὁ χρησμὸς ὁ δοθεὶς αὐτῷ, ὅτε περὶ Κτησιφῶντα διῆγεν. γηγενέων ποτὲ φῦλον ἐνήρατο μητιέτα Ζεύς, ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ’ ἔχουσι. Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδὴς μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ ἀγχεμάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ, νωλεμέως δὲ δάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα, ὅρρα καὶ Ἑσπερίων ἀνδρῶν Ἀλαμανικὸν οὖδας ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

ι 438 Ἰουλιανός, ὁ ὕπατος, ὠνησάμενος τὴν βασιλείαν, ἐπεὶ παρῆλθεν εἰς τὴν ἀρχήν, εὐθέως τρυφαῖς καὶ κραιπάλαις ἐσχόλαζε, τῇ μὲν τῶν δημοσίων ἐπιμελείᾳ ῥαθύμως προσφερόμενος, ἐς δὲ τὸ ἁβροδίαιτον ἐπιδιδοὺς ἑαυτόν. εὑρίσκετο δὲ καὶ τοὺς στρατιώτας ψευσάμενος· οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα, καὶ οἱ δημόσιοι θησαυροὶ ἐκεκένωντο ὑπὸ Κομόδου. ἐκ ταύτης τῆς αἰτίας οἵ τε στρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος ἐν τῷ θεάτρῳ ἐν καταφρονήσει αὐτὸν ἐποίει.

ι 439 Ἰουλία Αὐγούστα, τοῦ Σεβήρου γαμετὴ τοῦ βασιλέως, ἣν ὁ Πλαυτιανὸς πολλὰ καὶ δεινὰ κακὰ εἰργάσατο· πάνυ γὰρ αὐτῇ ἤχθετο καὶ σφόδρα αὐτὴν πρὸς τὸν Σεβῆρον διέβαλλεν, ἐξετάσεις τε κατ’ αὐτῆς καὶ βασάνους κατ’ εὐγενῶν γυναικῶν ποιούμενος. καὶ ἡ μὲν αὐτή τε φιλοσοφεῖν διὰ ταῦτα ἤρξατο καὶ σοφισταῖς συνημέρευεν.

ι 440 Ἰούλιος: μήν. καὶ ὄνομα κύριον.

ι 441 Ἰουλόπεζα: ἡ ναῦς.

ι 442 Ἴουλος: ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ· πολύπουν δέ τι ζῷον. καὶ τὸ ἐξάνθημα τὸ ἐπὶ τῶν γενείων, καὶ τὸ ἐπὶ ταῖς καρύαις ἄνθος, καὶ ᾠδῆς τι γένος ἴουλος, καὶ ὁ προσφιλὴς τῇ Ἀρτέμιδι. ἔνιοι δὲ καὶ τὸν ἐπὶ ταῖς ὑδρίαις γινόμενον πολύποδα καὶ συστρεφόμενον ἴουλον καλοῦσιν. ἐν Ἐπιγράμμασι· ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους κειράμενος, γενύων ἄρσενος ἀγγελίας, Φοίβῳ θῆκε Λύκων πρῶτον γέρας.

ι 443 Ἴουλος: ἀπὸ τοῦ ὅλον εἶναι πυκνόν, καὶ συνεστράφθαι καὶ ἰέναι. λέγεται ἡ πρώτη ἐξάνθησις τοῦ γενείου.

ι 444 Ἰούνιος: ὄνομα. εἰς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν ζῶν, συνήθης ἦν τρισὶ πλουσίοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας εἰς τοὺς τοιούτους εἰπεῖν, οὐδεμιᾷ μὰ τὸν ἀπειροκαλίᾳ· ὃς ἔνεμε τὴν γαστέρα ταῖς τρισὶ τραπέζαις, καὶ τοσαύταις ἐπιπηδῶν τραπέζαις λύκου τινὸς δίκην ἢ ἰκτίνου ἢ ἁρπυίας, ἵνα τι καὶ παίσω.

ι 445 Ἰοῦσαν: πορευομένην.

ι 446 Ἰουστινιανός· οὗτος κτίσας τὴν ἁγίαν Σοφίαν ἐκάθηρε τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτήν, τὸ πρὶν οὖσαν Αὐγουστεῖον, ὁ ἑρμηνεύεται ὀψοπώλιον· καὶ ἔστησε τὴν ἑαυτοῦ εἰκόνα ἐπὶ κίονος ἔφιππον· καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ φέρει σφαῖραν, ἐμπεπηγότος σταυροῦ ἐν αὐτῇ, ὑποσημαίνοντος, ὡς διὰ τῆς εἰς τὸν σταυρὸν πίστεως τῆς γῆς ἐγκρατὴς γέγονε· σφαῖρα μὲν γὰρ ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος, πίστις δὲ ὁ σταυρὸς διὰ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα θεόν. τὴν δὲ δεξιὰν χεῖρα ἀνατεταμένην ἔχων κατὰ ἀνατολάς, στάσιν τῶν Περσῶν σημαίνων καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς Ῥωμαϊκῆς γῆς, διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῶν χειρῶν βοῶν· στῆτε καὶ μὴ πρόσω χωρεῖτε· οὐ γὰρ συνοίσει ὑμῖν.

ι 447 Ἰουστινιανός, ὁ Ῥινότμητος, βασιλεὺς Ῥωμαίων, υἱὸς Κωνσταντίνου· ὃς πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ἐς τὰς πολιτικὰς ἀρχὰς καθίστη ἄνδρας ἀπηνεῖς καὶ ὠμοτάτους, ὧν ἦν Στέφανος ὁ εὐνοῦχος, Πέρσης, ταμίας τῶν βασιλικῶν χρημάτων. καὶ πολλὰ τοὺς ὑπὸ χεῖρα αἰκιζόμενος ἄχρι καὶ εἰς τὴν μητέρα Ἰουστινιανοῦ τὴν τόλμαν ἐξήνεγκε, μάστιγας αὐτῇ ἐν σχήματι ὡς οἱ γραμματισταὶ τοὺς παῖδας ἐπιθέμενος. καὶ Θεόδοτόν τινα ἔγκλειστον γεγονότα κατὰ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θρᾳκῷα τοῦ στενοῦ τῶν δημοσίων λογιστήν, ὃν τὸ δημῶδες γενικὸν λογοθέτην, ἐποίησεν. ὃς ὑπερβολῇ ὠμότητος τὰ χρήματα ἔπραττε, μετεώροις σχοινίοις ἀναρτῶν καὶ περικαπνίζων ἀχύροις τοὺς περιφανεστάτους ἀπέκτεινε. καὶ Λεόντιον στρατηγὸν τῶν ἀνατολικῶν, καὶ Πατρίκιον Ἴσαυρον τρισὶν ἔτεσιν ὑποφρούριον ἐποίησεν Ἰουστινιανός, ὕστερον δὲ στρατηγὸν Ἑλλάδος ἀπέδειξεν. ὃν Παῦλος, τῆς Καλλιστράτου μονῆς μοναχός, ἀστρονόμος, καὶ Γρηγόριος Καππαδόκης, ἡγούμενος τῆς τοῦ Φλώρου μονῆς, προεμαντεύσαντο, καὶ ἐγκρατὴς τῆς βασιλείας ἐγένετο.

ι 448 Ἰουστῖνος, φιλόσοφος, καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος, ἀπὸ τῆς Νεαπολιτῶν ἐπαρχίας τῆς Παλαιστίνης, ἐκ πατρὸς Πρίσκου τοῦ Βακχίου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν Χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ Ἀντωνίνῳ, τῷ ἐπίκλην Πίῳ, καὶ τοῖς τούτου υἱέσι καὶ τῇ συγκλήτῳ Ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον, ἣν καὶ ἐπέδωκε τοῖς Ἀντωνίνου διαδόχοις, τουτέστι Μάρκῳ Ἀντωνίνῳ καὶ Λουκίῳ Αὐρηλίῳ Κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται· καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν Ἔλεγχος· καὶ ἄλλην Περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλην, ἣν ὠνόμασε ψάλτην, καὶ ἑτέραν Περὶ ψυχῆς· διάλογόν τε κατὰ τῶν Ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ Τρύφωνος, ἀρχηγοῦ τῶν ἐν Ἐφέσῳ Ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ Μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε· καὶ ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ Ἀπολογητικῷ, ὃ ἐπέδωκεν Ἀντωνίνῳ τῷ Πίῳ. οὗτος ἐν τῇ Ῥώμῃ ἔχων τὰς διατριβάς, εὐθύνων Κρίσκην τὸν Κυνικὸν τὸν κατὰ τῶν Χριστιανῶν βλασφημοῦντα καὶ καλῶν αὐτὸν λαίμαργον ἄσωτόν τε καὶ ἀκόλαστον καὶ τὸν θάνατον φοβούμενον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς Χριστιανὸς ὑπὲρ Χριστοῦ ἔπαθεν.

ι 449 Ἰουστῖνος, ὁ βασιλεὺς Ῥωμαίων, ὀρθοδοξότατος. ἦν δὲ ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. οὗτος κτίζει καὶ τὸν ἐν τῷ Παλατίῳ χρυσὸν τρίκλινον καὶ τὸν ἅγιον Παῦλον, τὸ ὀρφανοτροφεῖον. καὶ αὖθις· τὴν περὶ βασιλέως Ἰουστίνου κρατήσασαν δόξαν, ὥς ἐστι μάλα ἐμβριθής τε καὶ κατηκριβωμένος.

ι 450 Ἰοῦστος, Τιβερεύς, ἐπαρχίας Γαλιλαίας· ἐπεχείρησε μὲν καὶ αὐτὸς Ἰουδαϊκὴν ἱστορίαν συντάξαι καί τινα ὑπομνήματα περιγράφειν· ἀλλὰ τοῦτον Ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν ὅτε καὶ Ἰώσηπος.

ι 451 Ἰοφῶν, Ἀθηναῖος, τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεοδωρίδος Σικυωνίας. δράματα δὲ Ἰοφῶν ἐδίδαξε ν′· ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι, Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.

ι 452 Ἰοχέαιρα: ἡ τοῖς ἰοῖς χαίρουσα, ὑποδεχομένη. ἐν Ἐπιγράμμασι· σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρα, δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται.

ι 453 Ἰώ: ὄνομα. Ἴναχος, Ἀργείων βασιλεύς, κτίζει πόλιν εἰς ὄνομα τῆς σελήνης Ἰοῦ· οὕτω γὰρ τὴν σελήνην ἐκάλουν Ἀργεῖοι. ἔσχε δὲ καὶ θυγατέρα Ἰώ, ἥντινα Πῆκος ὁ καὶ Ζεὺς ἥρπασε καὶ ἔσχε θυγατέρα ἐξ αὐτῆς Λιβύην. ἡ δὲ Ἰὼ λυπηθεῖσα ἐπὶ τῇ διαφθορᾷ ἔφυγεν εἰς τὸ Σίλπιον ὄρος κἀκεῖ τελευτᾷ. ὁ δὲ πατὴρ καὶ οἱ ἀδελφοὶ τοῦτο μαθόντες κτίζουσιν αὐτῇ ἱερὸν καὶ ἐκάλεσαν τὸν τόπον Ἰώπολιν καὶ ἔμειναν ἐκεῖ μέχρι τελευτῆς, ἐπιτελοῦντες τὴν μνήμην καὶ κρούοντες εἰς τὰς ἀλλήλων θύρας κατ' ἔτος ἔλεγον, ἰώ, ἰώ.

ι 454 Ἰώ: σχετλιαστικόν. ἰὼ Νέμεσι, βαρύβρομοί τε βρονταί. καὶ αὖθις· ἰώ, ἰώ, τραυμάτων ἐπωδύνων.

ι 455 Ἰώ· Ἀριστοφάνης· ἰὼ μακάριαι χελῶναι τοῦ δέρματος, καὶ τρισμακάριαι τοὐπὶ ταῖς πλευραῖς, ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς.

ι 456 Ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις, καὶ πολλῷ δεκάκις ἀπολεῖσθε τήμερον. ἔστι δὲ πόλις Λακωνική.

ι 457 Ἰὼ σκότος, ἐμὸν φάος, Ἔρεβος ὦ φαεννότατον ἐμοί· ἕλεσθέ μ’, ἕλεσθέ μ’ οἰκήτορα, ἕλεσθέ μ’· οὔτε γὰρ θεῶν γένος οὔθ’ ἁμερίων ἔτ’ ἄξιος βλέπειν τίν’ εἰς ὄνησιν ἀνθρώπων: τουτέστιν οὔτε θεῶν οὔτ’ ἀνθρώπων γένος ὁρᾶν ἄξιός εἰμι εἰς ὠφέλειαν· ἄξιον τοίνυν ἐξιέναι τοῦ βίου. ἢ οὕτως· εἰς ὠφέλειαν οὐκ εἰσὶν οὔτε ἄνθρωποι οὔτε θεοί· τί οὖν ζῶ; ὡς ἂν εἴ τις θάνατον σωτηρίαν νομίσειεν.

ι 458 Ἰωάβ: ὄνομα κύριον.

ι 459 Ἰωακείμ: ὄνομα κύριον.

ι 460 Ἰωάθαμ: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀβιμέλεχ.

ι 461 Ἰωάννης: ὄνομα κύριον. ὅτι ὁ θεολόγος Ἰωάννης καὶ εὐαγγελιστὴς ἀπὸ τῆς ἐν Πάτμῳ ἐξορίας ἐπανελθὼν συντάττει τὸ εὐαγγέλιον ὢν ἐτῶν ρʹ, διαρκέσας ἕως ἄλλων ἐτῶν ρκʹ. ἐκεῖσε διάγων καὶ συγγράφεται τὴν θεολογίαν. δέχεται δὲ ὁ Χρυσόστομος καὶ τὰς ἐπιστολὰς αὐτοῦ τὰς τρεῖς καὶ τὴν ἀποκάλυψιν. ἔχει δὲ τίτλους δεκαοκτώ, κεφάλαια διακόσια τριάκοντα δύο.

ι 462 Ἰωαννίκιος: ὄνομα κύριον.

ι 463 Ἰωάννης, Ἀντιοχεύς, ὁ ἐπικληθεὶς Χρυσόστομος· πρεσβύτερος μὲν ἐν πρώτοις Ἀντιοχείας, Εὐσεβίου δὲ τοῦ Ἐμεσηνοῦ φιλοσόφου καὶ Διοδώρου ἀκόλουθος. οὗτος πολλὰ συγγράψαι λέγεται, ἀφ’ ὧν οἱ περὶ ἱερωσύνης ὑπερβάλλουσι λόγοι τῷ τε ὕψει καὶ φράσει καὶ τῇ λειότητι καὶ τῷ κάλλει τῶν ὀνομάτων. τούτοις ἐφάμιλλοι καὶ οἱ εἰς τοὺς ψαλμοὺς τοῦ Δαβὶδ λόγοι καὶ ἡ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου σημασία καὶ τὰ εἰς Ματθαῖον καὶ Μάρκον καὶ Λουκᾶν ὑπομνήματα. τὰ δὲ λοιπὰ αὐτοῦ συγγράμματα κρείττονα ἀριθμοῦ τυγχάνει· ἅπασαν γὰρ Ἰουδαϊκὴν γραφὴν καὶ Χριστιανικὴν ὑπεμνημάτισεν ὡς ἄλλος οὐδείς. τὰς τῶν μαρτύρων δὲ πανηγύρεις ἐπηύξησεν ἐν τῷ σχεδιάζειν ἀνεμποδίστως, καὶ τὴν γλῶσσαν αὐτοῦ καταρρεῖν ὑπὲρ τοὺς Νειλῴους καταρράκτας. οὐδεὶς οὖν τῶν ἀπ’ αἰῶνος τοιαύτην λόγου ηὐπόρησεν εὔροιαν, ἣν μόνος αὐτὸς ἐπλούτησε, καὶ μόνος ἀκιβδήλως τὸ χρυσοῦν τε καὶ θεῖον παρὰ πάντας ἐκληρονόμησεν ὄνομα. τῶν δὲ συγγραμμάτων αὐτοῦ καταλέγειν τὸν ἀριθμὸν οὐκ ἀνθρώπου, θεοῦ δὲ μᾶλλον τοῦ τὰ πάντα γινώσκοντος. οὗτος ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἀσκητὴς ἦν ἄκρως καὶ πολυάγρυπνος καὶ φιλήσυχος λίαν καὶ διὰ ζῆλον σωφροσύνης εὐπαρρησίαστος καὶ ἀκρόχολος· θυμῷ γὰρ μᾶλλον ἢ αἰδοῖ ἐχαρίζετο καὶ ἐλευθεροστομίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως ἐκέχρητο. καὶ ἐν μὲν τῷ διδάσκειν πολὺς ἦν πρὸς ὠφέλειαν, ἐν δὲ ταῖς συντυχίαις ἀλαζονικός τις καὶ ὑπερόπτης ἐνομίζετο τοῖς αὐτὸν ἀγνοοῦσι. διὸ καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς μείζονι ὀφρύϊ κατὰ τῶν ὑπηκόων ἐκέχρητο πρὸς διόρθωσιν ἑκάστου καὶ σωτηρίαν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους μεταλλάττων. οὐ τοίνυν εἰ μή τις εἴη κόλαξ, τοῦτον ἀλαζόνα εἶναι νομιστέον, οὐδ’ αὖ πάλιν, εἰ κόλαξ εἴη καὶ ἀγεννής, τοῦτον μετριόφρονα λεκτέον, ἀλλὰ τὸν ἐν τῇ προσηκούσῃ τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα· μεγαλόψυχον μὲν εἶναι προσήκει οὐχ ὑπερήφανον, ἀνδρεῖον οὐ θρασύν, ἐπιεικῆ οὐ δουλοπρεπῆ, μετριόφρονα οὐ ταπεινοφροσύνην ὑποκρινόμενον, ἐλευθέριον οὐκ ἀνδραποδώδη· ὡς καὶ αὐτὸς λέγει· διὰ τοῦτο ποικίλον εἶναι δεῖ τὸν ποιμένα καὶ διδάσκαλον. ποικίλον δὲ λέγω, οὐχ ὕπουλον οὐδὲ κόλακα καὶ ὑβριστήν, ἀλλὰ πολλῆς ἐλευθερίας καὶ παρρησίας ἀνάμεστον, εἰδότα καὶ συγκατιέναι χρησίμως, ὅταν ἀπαιτῇ τοῦτο ἡ τῶν πραγμάτων ὑπόθεσις, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. οὐ γὰρ ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασι δέον, ἐπεὶ μηδὲ ἰατρῶν παισὶν ἑνὶ μόνῳ φαρμάκῳ πᾶσι τοῖς κάμνουσι προσφέρεσθαι καλόν, μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης. ἐννόησον οὖν ὁποῖόν τινα εἶναι χρὴ τὸν μέλλοντα πρὸς χειμῶνα τοσοῦτον ἀνθέξειν καὶ τοιαύτην ζάλην καὶ τοσαῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύματα πρὸς τὸ γενέσθαι τοῖς πᾶσι πάντα, ἵνα πάντας κερδήσῃ. καὶ γὰρ σεμνὸν εἶναι δεῖ τὸν τοιοῦτον καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχοντικὸν καὶ κοινωνικὸν καὶ ἀδέκαστον καὶ θεραπευτικὸν καὶ ταπεινὸν καὶ ἀδούλωτον καὶ φαιδρὸν καὶ ἥμερον, ἵνα ταῦτα εὐκόλως δύναται μάχεσθαι. οὐκοῦν δεῖ τὸν ἐνεργέστατον καὶ ἐχέφρονα φεύγειν τὸ κολακεύειν καὶ κολακεύεσθαι, μήτε ἀλαζονικὸν εἶναι μήτε κόλακα, ἀλλ' ἀμφοτέρων τῶν κακῶν τούτων κολάζειν τὴν ἀμετρίαν, καὶ ἐλεύθερον εἶναι μήτε εἰς αὐθάδειαν ἀποκλίνοντα μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα. πρὸς μὲν γὰρ χρηστοὺς ταπεινὸν ὑπάρχειν δεῖ, πρὸς δὲ θρασεῖς ὑψηλόν. ἐπείπερ οἱ μὲν ἀρετὴν εἶναι τὴν ἐπιείκειαν ἡγοῦνται, οἱ δὲ ἀνδρείαν τὴν θρασύτητα, ἐκείνοις μὲν τὴν ταπεινοφροσύνην προσφέρειν, τούτοις δὲ τὴν ἀνδρείαν σβεννύουσαν αὐτῶν τὴν ἀπὸ τῆς θρασύτητος δόξαν· ἵνα τοὺς μὲν ὠφελήσῃς, τῶν δὲ ταπεινώσῃς τὸ φρόνημα. καιρὸς γὰρ τῷ παντὶ πράγματι, φησὶ Σολομῶν· τουτέστι ταπεινότητος, ἐξουσίας, ἐλέγχου, παρακλήσεως, φειδοῦς, παρρησίας, χρηστότητος, ἀποτομίας καὶ ἁπαξαπλῶς παντὸς πράγματος· ὥστε ποτὲ μὲν τὸ τῆς ταπεινότητος δεικνύειν καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία κατὰ τὴν κυριακὴν φωνήν, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παρρησίαν· καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐμφαίνειν καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ὁμοίως τὸν ἔγκριτον καὶ δίκαιον λογισμὸν ἀποφέρεσθαι. λογισμοὶ γὰρ δικαίων κρίματα. καὶ Ἰσίδωρος· τὸν ἄρχοντα δίκαιον εἶναι δεῖ καὶ φοβερόν, ἵν' οἱ μὲν εὖ βιοῦντες θαρροῖεν, οἱ δ' ἁμαρτάνοντες ὀκνοῖεν. θάτερον γὰρ θατέρου χωρὶς ἀναρχία μᾶλλόν ἐστιν ἢ ἀρχή. εἰ μὲν γὰρ πάντες ἦσαν εὐπειθεῖς καὶ φιλάρετοι, ἀγαθότητος ἔδει μόνης· εἰ δὲ φιλαμαρτήμονες, φόβου. ἐπειδὴ δὲ καὶ ἀγαθοί εἰσι καὶ κακοί, ἀμφότερα καταχειριστέον τῷ ἄρχοντι καὶ προϊσταμένῳ.

ι 464 Ἰωάννης, γραμματικός, Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Φιλόπονος. τούτου συγγράμματα πάμπολλα, γραμματικά, φιλόσοφα, ἀριθμητικά, ῥητορικά, τῆς τε θείας γραφῆς καὶ κατὰ τῶν δεκαοκτὼ Προκλείων ἐπιχειρημάτων καὶ κατὰ Σεβήρου. πλὴν ὅτι παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ὡς τριθεΐτης ἐκβάλλεται καὶ τοῦ καταλόγου τῶν ὀρθοδόξων ἀποδιώκεται.

ι 465 Ἰωάννης, Φιλαδελφεὺς Λυδός. οὗτος ἔγραψε Περὶ μηνῶν βιβλίον ἕν· καὶ Περὶ Διοσημειῶν ἕτερον· καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν. προσομιλεῖ δὲ ταῦτα Γαβριηλίῳ τινὶ ὑπάρχῳ.

ι 466 Ἰωάννης, ὁ ἐπονομαζόμενος Στοβεύς. Ἀνθολόγιον, περιέχον τὰς παρὰ πᾶσι πολλῶν δόξας ἐν βιβλίοις τέσσαρσιν, ἐνάρετα πάνυ καὶ γέμοντα πάσης παιδεύσεως. γράφει δὲ ταῦτα πρὸς Ἐπίμιον υἱὸν αὐτοῦ.

ι 467 Ἰωάννης ὁ Δαμασκηνός, ὁ ἐπικληθεὶς Μανσούρ, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος, οὐδενὸς δεύτερος τῶν κατ' αὐτὸν ἐν παιδείᾳ λαμψάντων. συγγράμματα αὐτοῦ πάνυ πολλὰ καὶ μάλιστα φιλόσοφα· εἴς τε τὴν θείαν γραφὴν Παράλληλοι κατ' ἐκλογήν, καὶ οἱ ᾀσματικοὶ κανόνες, ἰαμβικοί τε καὶ καταλογάδην. συνήκμαζε δ' αὐτῷ καὶ Κοσμᾶς ὁ ἐξ Ἱεροσολύμων, ἀνὴρ εὐφυέστατος καὶ πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον. οἱ γοῦν ᾀσματικοὶ κανόνες Ἰωάννου τε καὶ Κοσμᾶ σύγκρισιν οὐκ ἐδέξαντο οὐδὲ δέξαιντο, μέχρις ἂν ὁ καθ' ἡμᾶς βίος περαιωθήσεται.

ι 468 Ἰωάννης, ὁ τυραννήσας εἰς Ῥώμην ἐπὶ Θεοδοσίου, πρᾶος ἦν καὶ ξυνέσεως εὖ ἥκων καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιστάμενος. ὃς τὴν τυραννίδα μετρίως ἐξηγήσατο, οὐδὲ τοῖς διαβάλλουσι τὴν ἀκοὴν ὑπέσχεν οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθετο.

ι 469 Ἰωάννης, ὁ Καππαδοκίας ἔπαρχος Ἰουστινιανοῦ, λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι. φύσεως δὲ ἰσχύϊ πάντων γέγονε δυνατώτατος ὧν ἡμεῖς ἴσμεν· γνῶναί τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ τὰ δέοντα ἱκανώτατος ἦν καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν. πονηρότατος δὲ πάντων ἀνθρώπων γεγονὼς τῇ τε τῆς φύσεως δυνάμει ἐς τοῦτο ἐχρῆτο, καὶ οὔτε θεοῦ λόγος οὔτε ἀνθρώπων αὐτὸν αἰδώς τις εἰσῄει, ἀλλὰ βίους τε αὐτῷ ἀνθρώπων πολλῶν ἀπολλύναι κέρδους ἕνεκα καὶ πόλεις ὅλας καθελεῖν ἐπιμελὲς ἦν. χρόνου γοῦν ὀλίγου χρήματα μεγάλα περιβαλόμενος ἐς κραιπάλην τινὰ ἐκλελάκτικεν ὅρον οὐκ ἔχουσαν· ἄχρι μὲν ἐς τὸν τοῦ ἀρίστου καιρὸν ληϊζόμενος τὰς τῶν ὑπηκόων οὐσίας, μέθῃ δὲ τὸ λοιπὸν καὶ σώματος ἔργοις ἀσελγέσιν ἠσχολημένος. κατέχειν δὲ αὐτὸν οὐδαμῇ ἴσχυεν, ἀλλὰ τά τε βρώματα μέχρι ἐς ὅσον ἤσθιε καὶ τὰ χρήματα κλέπτειν μὲν ἦν ἐσαεὶ ἕτοιμος, προΐεσθαι δὲ καὶ δαπανᾶν ἑτοιμότερος. οὗτος δὲ ὁ Ἰωάννης πᾶσιν ἀνθρώποις βαρὺς ἦν ὁμοίως καὶ χαλεπός, πληγάς τε τοῖς προσπίπτουσιν ἐντεινόμενος καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ οὐδενὶ ληϊζόμενος, τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίκην παρανομίας ἐξέτισεν.

ι 470 Ἰώανος, βασιλεὺς Ἱεροσολύμων, μετὰ θάνατον Ἰωδαὲ τοῦ ἀρχιερέως προέδωκε τὴν ἐπιμέλειαν τὴν πρὸς τὸν θεόν. συνδιεφθάρησαν δὲ αὐτῷ καὶ οἱ τοῦ πλήθους πρωτεύοντες ὥστε πλημμελεῖν εἰς τὰ δίκαια καὶ νενομισμένα παρ' αὐτοῖς ἄριστα εἶναι. δυσχεράνας δὲ ὁ θεὸς ἐπὶ τῇ μεταβολῇ τοῦ βασιλέως καὶ τῶν ἄλλων πέμπει τοὺς προφήτας διαμαρτυρησομένους τε τὰ πραττόμενα καὶ παύσοντας τῆς πονηρίας αὐτούς. οἱ δὲ ἰσχυρὸν ἔρωτα καὶ δεινὴν ἐπιθυμίαν ἄρα ταύτης εἶχον. ἀλλὰ καὶ Ζαχαρίαν, υἱὸν τοῦ ἀρχιερέως Ἰωδαέ, κατέλευσαν λίθοις ἐν τῷ ἱερῷ, διότι προεφήτευσεν, αὐτοὺς τιμωρίαν μεγάλην ὑφέξειν μὴ πειθομένους.

ι 471 Ἰώβ, ὁ μέγας ὄντως ἐκεῖνος καὶ γενναῖος τῆς ἀληθείας ἀγωνιστής, ὁ πρῶτος ἀνοίξας τὸ γυμνικὸν ἐκεῖνο καὶ παγκόσμιον στάδιον, ὁ τὸν ἀντίπαλον πάσαις ταῖς πάλαις καταβαλών, ὁ μέχρι καὶ τῶν ὀστέων τὰς πληγὰς καὶ τοὺς μώλωπας εἰσδεξάμενος καὶ μείνας ἀήττητος, ὁ σκωλήκων πλήρης καὶ στεφανίτης· ὃν οὐδὲ θάνατος ἴσχυσε καταστρῶσαι καὶ κονίσαι τὰ ὄπισθεν, ἀλλ' ἔτι ἕστηκεν ὥσπερ τις ἀνδριὰς ἀπερίτρεπτος ἢ καὶ ἄκμων ἀνήλατος, δι' ὅλου τοῦ βίου καταπαλαίων καὶ καταράσσων τὸν ἀντικείμενον. οὗτος πρῶτος κατεπάτησε τὸν Διάβολον· οὗτος ἤρατο κατὰ τοῦ πονηροῦ νίκης τρόπαια, οὐ Νέμεα καὶ Ὀλύμπια Ἴσθμιά τε καὶ Πύθια καὶ ὅσα Ἑλληνικοὶ διακομπάζουσι λόγοι ἀγωνιζόμενος, ἀλλὰ πρὸ παίδων καὶ κτήσεως καὶ βοσκημάτων καὶ θεραπείας καὶ πάσης τοῦ βίου διαγωγῆς καὶ πτωμάτων οἰκίας τάφους τὰς αὐτὰς καὶ πολυάνδρια τῶν ἑαυτοῦ παίδων γεγενημένας ὁ καρτερόψυχος θεασάμενος, οὓς ἐν μιᾷ ἡμέρᾳ καὶ ὥρᾳ ἐπὶ τῆς τραπέζης εὐωχουμένους καὶ συνεσθίοντας κατέστρωσε σωρηδὸν ὁ παμμίαρος, ἐπισείσας αὐτοῖς τὸ δωμάτιον, οὐ δύο καὶ τρεῖς ἢ τέτταρας, ἀλλὰ δέκα τοὺς πάντας καὶ πάσας καταβαλών. καὶ οὐδὲ μέχρι τούτων ἡ λύσσα καὶ βασκανία ἠρκέσθη τοῦ ἀντιπάλου, ἕως αὐτὸν τὸν ἀθλητὴν γυμνὸν ἐπὶ τῆς κοπρίας ἐκκαλεσάμενος καὶ κατάστικτον ὅλον τοῖς ἕλκεσι καὶ πλήρη σκωλήκων ἀπεργασάμενος, θέαμα φρικτόν τε καὶ ξένον ὅλῃ τῇ ὑφ' ἡλίῳ κατέστησεν, ἔτεσιν ἑπτὰ τοῖς ὀδοῦσι δαρδάπτων καὶ τῇ γλώσσῃ λικμώμενος ὅλον τὸ σῶμα τοῦ μάκαρος· μέχρις ὅτου τὴν ἧτταν ἐφ' ἑαυτὸν ὁ παμμίαρος ἐπεσπάσατο καὶ τὴν αἰσχύνην τέλεον ἐκληρώσατο. ἔχεις τὸ λοιπὸν καὶ τούτου τοῦ φιλοσόφου τὰ ἔπαθλα. ἔχεις καὶ τούτου τὴν βίβλον πολὺ τῆς Ὁμήρου καὶ Πλάτωνος ἀηδόνος λιγυρώτερον ᾄδουσαν, οὐ μύθων καὶ παθῶν ἀλλοτρίων ὑφηγήσεις διαγορεύουσαν, ἢ τὸν θρασύτατον Ἀχιλλέα ἢ τὸν Ὀδυσσέα τὸν πολυμήχανον, ὧν αἱ σφαγαὶ τυγχάνουσι τρόπαια καὶ γυναικῶν φθοραὶ κατορθώματα, ἀλλὰ τὸν Σατανᾶν ὑπὸ γυμνοῦ τινος καὶ ἀόπλου καὶ μόνου καταρασσόμενον, καὶ φίλων συμπαθῶν δημηγορίας καὶ δάκρυα καὶ φυσιολογίαν ὅλης τῆς κτίσεως καὶ ζῴων καὶ ὀρνέων φύσεις καὶ λαμπρά τινα διηγήματα, καὶ αὐτοῦ δὲ τοῦ δράκοντος τὴν εἰκόνα τοῦ σκολιοῦ καὶ πολλὰς ἔχοντος τὰς ἑλίξεις καὶ τοὺς ὀφθαλμοὺς ὡς πῦρ ἀποστίλβοντας· καὶ τὴν εἰς ᾄδου καὶ τῶν καταχθονίων τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ συγκατάβασιν καὶ τὴν ἐξ ᾄδου καὶ τῶν νεκρῶν ἀναβίωσιν καὶ πάλιν τὸν δίκαιον στεφανίτην ἀναγορεύουσαν καὶ παῖδας καὶ κτῆσιν ὅλην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυπλασίως λαμβάνοντα καὶ χρόνον ζωῆς διπλασιαζόμενον καὶ θυγατέρων ὀνόματα ἐξαλλάσσοντα, οὐ Λήδης ἢ τῆς Εὐρώπης καὶ Ἀντιόπης, ἃς ὁ τῶν θεῶν ὕπατος Ζεὺς διεκόρησεν, ἀλλ’ Ἡμέρας τε καὶ Κασίας καὶ Ἀμαλθείας προσωνυμίας λαμβάνουσαι καὶ τὸ κριθῆναι πασῶν γυναικῶν τῶν ὑπὸ τὸν οὐρανὸν ἐκπρεπέστεραι, καὶ τὸ δὴ μέγιστον τοῦ νικηφόρου καὶ στεφανίτου Ἰὼβ τὴν εὐγένειαν ὥσπερ τι γνώρισμα καὶ κλῆρον λαχούσας ἐξαίρετον. μόνος γὰρ οὗτος εὐγενὴς τῶν ἀφ’ ἡλίου ἀνατολῶν, ὁ κλεινὸς καὶ τριπόθητος, ὁ τοῦτο κερδάνας τῶν ἑαυτοῦ ἄθλων τὸ τελευταῖον καὶ ἔσχατον, τὸ μετὰ Χριστοῦ συναναστῆναι καὶ τὸν τῇδε κόσμον θεάσασθαι πάλιν μετὰ τοῦ σώματος, οὐ κατὰ τὸν Ἡρακλέους μῦθον καὶ τὴν Ἀδμήτου Ἄλκηστιν, ἣν ὁ καλλίνικός τε καὶ τριέσπερος ὑπὲρ τοῦ ἀνδρὸς τελευτήσασαν ἤγειρε, κἂν ἔσχατον πυρός τε καὶ γυναικὸς γέγονε παρανάλωμα, ἀλλὰ κατὰ τὴν ἄρρητον τοῦ σωτῆρος ἡμῶν δύναμιν, τοῦ τὸν ᾅδην σκυλεύσαντος καὶ τοὺς νεκροὺς ἐκ τῶν καταχθονίων ἁρπάσαντος, ὃς ἐκάθισεν ἐκ δεξιῶν τοῦ γεννήτορος μετὰ τοῦ προσλήμματος καὶ βασιλεύει πάσης ἀοράτου τε καὶ ὁρατῆς κτίσεως.

472 Ἰωβηλαῖος: μήν. παρὰ Ἰουδαίοις τιμώμενος. ἰστέον δέ, ὅτι τὸ ἀργὸν ἔτος κατὰ ἑπταετίαν ἠργεῖτο παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις.

473 Ἰωγή: σκέπη.

474 Ἰωδαέ· οὗτος ἱερεὺς ἦν, ὃς διὰ τὴν πολλὴν αὐτοῦ εὐσέβειαν ἐβίωσεν ἔτη ρλʹ.

475 Ἰώεσδρος: ὄνομα κύριον.

476 Ἰωή: πνοή.

477 Ἰωήλ: ὄνομα κύριον.

478 Ἰωθάμ: ὄνομα κύριον.

479 Ἰώθη: ἐχολώθη.

480 Ἰώθων: ὄνομα κύριον.

481 Ἰωκάς: ὁρμάς, διώξεις.

482 Ἰῶκά τε δακρυόεσσαν: Ὅμηρος ἰῶκα λέγει τὴν ἰωκήν, ὡς Ἡσίοδος κρόκα τὴν κρόκην· καὶ αὐτὸς Ὅμηρος τὴν ἀλκῇ, ἀλκί· ἀλκὶ πεποιθώς. λέγει δὲ ἰωκὴν ἀπὸ μέρους τὴν μάχην, ἐπεὶ διώξεως αἰτία γίνεται· ὅθεν καὶ βοὴν τὸν πόλεμον ἀπὸ τοῦ ἀλαλαγμοῦ.

483 Ἰώ, κλάετ’ ὀβολοστάται, αὐτοί τε καί τ’ ἀρχαῖα καὶ τόκοι τόκων. οὐδὲν γάρ με φλαῦρον ἐργάσεσθ’ ἔτι. οἷος ἐμοὶ τρέφεται τοῖσδ’ ἐνὶ δώμασι παῖς, ἀμφήκει γλώττῃ λάμπων, πρόβολος ἐμός, σωτὴρ δόμοις, ἐχθροῖς βλάβη, λυσανίας πατρῴων μεγάλων κακῶν.

484 Ἰῶλκα: αὔλακα.

485 Ἰῶμαι· αἰτιατικῇ.

486 Ἰώμενος: θεραπεύων.

487 Ἴων, Χῖος, τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβʹ ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ιβʹ, οἱ δὲ λʹ, ἄλλοι δὲ μʹ φασιν. οὗτος ἔγραψε περὶ μετεώρων, καὶ συνθέτους λόγους. ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι. οὗτος τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον.

488 Ἰῶν: βελῶν. Ἰὼν δὲ ὀξυτόνως ἀντὶ τοῦ πορευθείς.

489 Ἴων, τραγῳδίας ποιητής· Χῖος τὸ γένος.

490 Ἰωνάθης: ὄνομα κύριον.

491 Ἰωνᾶς: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 492 Ἴωνες: Ἀσιῶται καὶ Ἀττικοὶ Ἀθηναῖοι. διὰ τοῦ ω μεγάλου. εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, εὖχος Ἰώνων.

ι 493 Ἰωνιά: ὁ λειμὼν τῶν ἴων. ὥσπερ ῥοδωνιά, ὁ τῶν ῥόδων, καὶ κρινωνιά, ὁ τῶν κρίνων.

ι 494 Ἰωνία: χώρα. καὶ Ἰωνίας πόλεις ιβʹ, ἃς ἐνοικίζει Νηλεὺς ὁ Κόδρου. εἰσὶ δὲ Ἔφεσος Ἀνδρόκλου, Μίλητος, Μυοῦς, Πριήνη, Κολοφῶν, Τέως, Λέβεδος, Ἐρυθραί, Φώκαια, Κλαζομεναί, Χῖος, Σάμος. ταύτας Δαρεῖος ἐπὶ Σκύθας ἰὼν αὐτοῖς φύλαξιν ἐπὶ τοῦ Ἴστρου ἐχρήσατο, ἐκτομίας δὲ αὐτῶν τοὺς εὐγενεστάτους ἐποίει καὶ παλλακὰς τὰς θυγατέρας.

ι 495 Ἰωνικός: Ἑλληνικός, Ἀθηναῖος, ἀρχαῖος. καὶ Ἰωνικῶς, ἀντὶ τοῦ ἁβρῶς. ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

ι 496 Ἰωνίς: χώρα.

ι 497 Ἴωξις: ἡ δίωξις.

ι 498 Ἰωράμ, Ὀχοζίου υἱὸς βασιλέως Ἰσραήλ, πάσης κακίας καὶ πονηρίας ἀνάπλεως καὶ ἀσεβής. ἦν δὲ τὰ ἄλλα δραστήριος.

ι 499 Ἰώραμος: ὄνομα κύριον.

ι 500 Ἰωρός: θυρωρός, φύλαξ. καὶ παροιμία· οὐδ᾽ ἐντὸς ἰωροῦ. καὶ ὁ νόμος ὁ παρ᾽ Ἀθηναίοις ἐκτὸς ἰωροῦ ἐκέλευεν εἶναι τοὺς ἀνδροφόνους. ἐπὶ τοίνυν τῶν ἀπειλούντων καὶ σοβαρευομένων τῇ παροιμίᾳ ἐκέχρητο.

ι 501 Ἰωσαφάτ, βασιλεύς. οὗτος εὐηρέστησε τῷ θεῷ· διὰ δὲ τὴν πρὸς Ἀχαὰβ φιλοστοργίαν ἔφη πρὸς αὐτὸν Ἰηοῦ ὁ προφήτης, ὁ τοῦ Ἀνανή· βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί· καὶ ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα καὶ κατηύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον, καὶ εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον, διὰ τοῦτο ἐφείσατό σου κύριος, πλὴν ὅτι διεκόπη τὰ ἔργα σου καὶ συνετρίβησαν τὰ πλοῖά σου. κἀντεῦθεν διδασκόμεθα, ὡς ἐλαττοῖ τὰς ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας τὰ προγεγενημένα κατορθώματα. ὁ γὰρ θεὸς ταῦτα ἐκείνοις ἀντιμετρῶν οὕτως ἐκφέρει τὴν ψῆφον.

ι 502 Ἰωσεδέκ: ὄνομα κύριον.

ι 503 Ἰώσηπος, Ἰουδαῖος, φιλαλήθης, λέγων περὶ τοῦ Προδρόμου, καὶ περὶ τοῦ κυρίου ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Ματθίου παῖς, ἱερεὺς ἐξ Ἱεροσολύμων, ὁ γράψας τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν βιβλίοις εἴκοσιν. οὗτος ἁλοὺς παρὰ Οὐεσπασιανοῦ μετὰ Τίτου τοῦ υἱοῦ αὐτοῦ ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἁλώσει κατελείφθη καὶ σὺν αὐτῷ εἰς Ῥώμην ἐλθὼν ἑπτὰ λόγους τῆς Ἱεροσολύμων ἁλώσεως τοῖς βασιλεῦσι προσήνεγκεν, οἵτινες τῇ δημοσίᾳ βιβλιοθήκῃ παρεδόθησαν, καὶ διὰ τὴν δόξαν τῆς συγγραφῆς ἀνδριάντος ἠξιώθη. ἔγραψε δὲ καὶ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας λόγους εἴκοσιν, ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς ἕως τεσσαρεσκαιδεκάτου ἔτους Δομετιανοῦ Καίσαρος. καὶ δύο βίβλους ἑτέρας ἀρχαιότητος κατὰ Ἀππίωνος γραμματικοῦ Ἀλεξανδρέως, ὃς ἐπὶ Καλλιγόλᾳ πρεσβευτὴς ἀπεστάλη παρὰ τοῦ μέρους τῶν Ἑλλήνων κατηγορήσων Φίλωνος διὰ λόγου τινὸς κατάγνωσιν περιέχοντος τοῦ Ἰουδαίων ἔθνους. ἔστι καὶ ἄλλος αὐτοῦ λόγος Περὶ αὐτοκράτορος λογισμοῦ, ἐνάρετος πάνυ, ἐν ᾧ καὶ τοῦ πάθους τῶν Μακκαβαίων ἐμνήσθη. οὗτος ἐν τῇ ὀκτωκαιδεκάτῃ τῆς Ἀρχαιολογίας βίβλῳ φανερῶς ὁμολογεῖ διὰ τὸν ὄγκον τῶν σημείων τὸν Χριστὸν ἐσφάχθαι παρὰ Ἰουδαίων καὶ Ἰωάννην τὸν βαπτιστὴν ἀληθῶς γεγενῆσθαι προφήτην καὶ διὰ τὴν σφαγὴν Ἰακώβου τοῦ ἀποστόλου τὰ Ἱεροσόλυμα πεπορθῆσθαι. γράφει δὲ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως· γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. ὁ Χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ’ ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμαστὰ περὶ αὐτοῦ εἰρηκότων, εἴς τε νῦν τὸ τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένον οὐκ ἀπελείπετο φῦλον. τοσαῦτα Ἰώσηπος περὶ Χριστοῦ ἐν τῷ ιη′ λόγῳ φησίν.

ι 504 Ἰώσηπος, Ἰουδαῖος, ἱστοριογράφος. τοῦτον φρουρεῖσθαι κελεύει Οὐεσπασιανός, ἀναπέμψων αὐτίκα Νέρωνι. τοῦτο ἀκούσας Ἰώσηπος μόνῳ τι διαλεχθῆναι θέλειν ἔλεγεν αὐτῷ. μεταστησαμένου δὲ ἐκείνου πάντας πλὴν τοῦ παιδὸς Τίτου καὶ δυεῖν φίλων· σὺ μέν, ἔφη, Οὐεσπασιανέ, νομίζεις αἰχμάλωτον εἰληφέναι Ἰώσηπον· ἐγὼ δὲ ἄγγελος ἥκω σοι μεγάλων. μὴ γὰρ οὐχ ὑπὸ θεοῦ προπεμπόμενος ᾔδειν τὸν Ἰουδαίων μόρον; Νέρωνί με πέμπεις; τί γάρ; οἱ μετὰ Νέρωνα μέχρι σου διάδοχοι μενοῦσι; σὺ δὲ Καῖσαρ καὶ σὸς παῖς οὗτος. δέσμει δέ με ἀσφαλεστάτως καὶ τήρει σεαυτῷ. δεσπότης σὺ καὶ γῆς καὶ θαλάττης καὶ παντὸς ἀνθρώπων γένους. ἐγὼ δὲ φρουρᾶς μείζονος δέομαι, εἰ κατασχεδιάσω καὶ θεοῦ. ὁ δὲ Οὐεσπασιανὸς παραχρῆμα μὲν ἀπιστεῖν ἐδόκει καὶ τὸν Ἰώσηπον ἐδόκει πανουργεῖν· ἀτρεκῆ δὲ τὸν Ἰώσηπον εὑρηκὼς ἐδωρεῖτο ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις.

ι 505 Ἰωσήφ, ὁ πάγκαλος. οὗτος ἐτῶν ιζ′ φθονηθεὶς ὑπὸ τῶν ἀδελφῶν καὶ πραθείς, γενόμενος ἐτῶν λ′ ἄρχων τῆς Αἰγύπτου καθίσταται. ἐν ᾗ γεννήσας δύο υἱούς, Ἐφραὶμ καὶ Μανασσῆ, ἀπέθανεν ἐτῶν ρι′. τὰ δὲ ὀστᾶ Ἰωσὴφ Μωσῆς ἐξήγαγε μεθ’ ἑαυτοῦ. ὅρκῳ γὰρ ὥρκωσεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων· ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς κύριος, καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦθεν μεθ’ ὑμῶν.

ι 506 Ἰωσίας, βασιλεὺς Ἱερουσαλήμ. ἐπὶ τούτου Χελκίας ὁ ἱερεὺς εὗρεν ἐν τῷ ναῷ βιβλίον νόμου καὶ κοινωσάμενος τῷ γραμματεῖ ἐπέδειξε τῷ βασιλεῖ. ὁ δὲ εὐλαβὴς ὢν καὶ δίκαιος, ὡς ἀνεγνώσθη αὐτῷ, περιέρρηξε τὴν ἐσθῆτα τόν τε ναὸν ἐκάθηρε τοῦ θεοῦ ἀπὸ τῶν βδελυγμάτων καὶ τὰ εἰδωλεῖα ἐκπορθήσας ταῦτα καὶ τὰ ἐν Σαμαρείᾳ ἀνέζευξεν εἰς Ἱερουσαλήμ· ὅτε καὶ πάσχα ἤχθη πολλῷ ἐπιλεῖψαν χρόνῳ.

ι 507 Ἰωσίας, βασιλεὺς Ἰσραήλ, δικαιότατος ὑπὲρ τοὺς ἔμπροσθεν αὐτοῦ βασιλεῖς γενόμενος. ὃς τὸν νόμον κυρίου ἀναγινωσκόμενον ἀκριβῶς ἀκούσας καὶ λίαν ἀθυμήσας, εἰδὼς τοῦτον ἐν τοσούτοις ἔτεσι καταπατούμενον, τὰ ἱμάτια διαρρήξας καὶ ἔμφοβος γενόμενος ἀπέστειλε πρὸς Ὀλδὰν τὴν προφῆτιν, πυνθανόμενος τί βούλεται κύριος περὶ αὐτοῦ καὶ παντὸς τοῦ λαοῦ. ἡ δὲ φησί· τάδε λέγει κύριος· ἀνθ’ ὧν ἡπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ προσώπου μου, ὡς ἤκουσας, ὅτι ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ τοὺς ἐνοικοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, ἰδού, προστίθημί σε πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψει πᾶσι τοῖς κακοῖς, οἷς ἐπάξω ἐπὶ τὸν τόπον τοῦτον. ὁ δὲ ζήλῳ θείῳ κινούμενος οὐ μόνον τὰ πανταχοῦ εἴδωλα καὶ σεβάσματα κατέστρεψεν ἐκ βάθρων, ἀλλὰ καὶ τοὺς εἰδωλολάτρας μαστίζων ἐξωλόθρευσε, τοὺς δὲ ἤδη τεθνηκότας ἐν τοῖς τάφοις κατέκαυσε. καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ εἶπε· τί τὸ σκόπελον ἐκεῖνο, ὃ ἐγὼ βλέπω; καί φασιν οἱ ἄνδρες τῆς πόλεως· ὁ ἄνθρωπος τοῦ θεοῦ ἐστιν, ὁ προφήτης, τοὺς λόγους τούτους ἐπὶ τὸ θυσιαστήριον Βεθήλ. καὶ εἶπεν· ἄφετε αὐτόν· μηδεὶς κινήσῃ τὰ ὀστᾶ αὐτοῦ. καὶ μέντοι καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς ψευδοπροφήτας καὶ πᾶν βδέλυγμα καὶ προσόχθισμα ἐν Ἱερουσαλὴμ ἐξῆρε καὶ ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ καὶ ἰσχύϊ καὶ ψυχῇ αὐτοῦ κατὰ τὸν νόμον Μωσέως καὶ τὸ πάσχα ἐποίησεν, οἷον οὐ γέγονεν ἀπὸ τῶν χρόνων Ἰησοῦ τοῦ Ναυῆ καὶ Σαμουήλ. ἐν ᾧ βόας ἔθυσε χιλιάδας ιβ′, πρόβατα χιλιάδας λη′. καὶ κατωρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον κυρίου ἐν καρδίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλήρει εὐσεβείας. πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ, οὗ ἐθυμώθη ἐν τῷ Ἰούδᾳ ἐπὶ τοὺς παροργισμούς, οὓς παρώργισεν αὐτὸν Μανασσῆς.

ι 508 Ἰῶτα: τὸ στοιχεῖον, τὸ γράμμα.

ι 509 Ἰωτάπατα: τόπος τις. καὶ Ἰωταπατηνός.

ι 510 Ἰωτόμης. ἐδεῖτο δὲ τὸ πλῆθος προσωτάτω Ἀρμενίας ἀπαλλάξαι Ἰωτόμην, ὡς οὔποτ᾽ ἂν ἀποσχόμενον τοῦ νεωτερίζειν, εἰ τύχοι ὢν ἔνδημος.

ι 511 Ἰώϋμος.

ι 512 Ἰωχμός: θόρυβος.

ι 513 Ἴωψ: ἰχθὺς ποιός.

ι 514 Ἱππαγωγούς: τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς.

ι 515 Ἱππάζεται: οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ἔχειν, ἀλλὰ ἐφ᾽ ἑνὸς ἵππου ὀχεῖσθαι· ὃ νῦν κέλητα καλοῦσιν.

ι 516 Ἱππαλεκτρυόνος: εἶδος ζῴου.

ι 517 Ἱππαρχία, ἀδελφὴ Μητροκλέους τοῦ Κυνικοῦ, Μαρωνεῖτις, φιλόσοφος Κυνική, γυνὴ Κράτητος τοῦ Κυνικοῦ, ὃς ἦν Ἀθηναῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ ἢ ὥς τινες Διογένους. ἔγραψε φιλοσόφους ὑποθέσεις καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα Ἄθεον. ἤκμαζεν ἐπὶ τῆς ρια′ Ὀλυμπιάδος.

ι 518 Ἱππαρχίων ἄφωνος: δύο ἐγένοντο κιθαρῳδοί, Ἱππαρχίων καὶ Ῥουφῖνος· καὶ ἀγῶνος ἐνστάντος ὁ Ἱππαρχίων ἄφωνος ἔστη.

ι 519 Ἵππαρχος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

ι 520 Ἵππαρχος, Σταγειρίτης, φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. Τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς, καὶ Τίς ὁ γάμος, καὶ ἄλλα τινά.

ι 521 Ἵππαρχος, Νικαεύς, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν ὑπάτων. ἔγραψε περὶ τῶν Ἀράτου Φαινομένων, Περὶ τῆς τῶν ἀπλανῶν συντάξεως καὶ τοῦ καταστηριγμοῦ, Περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως, καὶ εἰς τὰς ἀρίστους.

ι 522 Ἵππαρχος: ὁ τῶν ἱππέων ἄρχων. πρῶτος αἱρεθεὶς δικτάτωρ Μάρκιος προσαιρεῖται ἵππαρχον Σπόριον, πρῶτον κατὰ τοῦτον καὶ τῆς ἱππαρχικῆς ἐπινοηθείσης ἡγεμονίας, δευτερευούσης κατὰ τὴν ὑπεροχὴν τοῦ δικτάτωρος.

ι 523 Ἵππαρχος, τύραννος Ἐρετρίας. ἕτερος δὲ Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δὲ Ἵππαρχος, ὁ Χάρμου, ὃς συγγενὴς ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ὑπέστη τὸν ἐξοστρακισμὸν διὰ τὴν ὑποψίαν τοῦ Πεισιστράτου, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν. ἄλλος δέ ἐστιν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης. λέγεται δὲ ἵππαρχος παρ᾽ Ἀθηναίοις καὶ ὁ τῶν ἱππέων ἄρχων. δύο δὲ ἦσαν οὗτοι.

ι 524 Ἱππάρχου πίναξ: ἐπεὶ παρὰ Συρακουσίοις οἱ ἵππαρχοι ἐν πίναξι τὰ ὀνόματα γράφοντες τῶν ἀτακτούντων παρεσημειοῦντο.

ι 525 Ἱππάς: ὁ Σόλων τοὺς νόμους Ἀθηναίοις γράψας εἰς ε′ τέλη τὸ πᾶν πλῆθος αὐτῶν διέταξε τῶν κατὰ τὰς οὐσίας τιμημάτων. καὶ τῷ πρώτῳ ὄνομα ἦν Πεντακοσιομεδίμνων, τῷ δευτέρῳ Ἱππέων, τῷ τρίτῳ Ζευγιτῶν, τῷ τετάρτῳ Θητῶν, τῷ ε′ Ἱππάς.

ι 526 Ἱππαφέσεων: τῆς ἀφετηρίας. Πολύβιος· παραπλήσιόν τι πάθος ἔφασκε τοῖς ἐπὶ τῶν ἱππαφέσεων· οἷον εἰκὸς ἐφιστάμενοι ἐκ τῶν αἰρομένων πυρσῶν.

ι 527 Ἱππέας εἰς πεδίον προκαλῇ: δηλονότι ἔνθα ἂν εὐημερῇ τις· τὰ γὰρ ἱππικὰ ἐν πεδίῳ κρατεῖ.

ι 528

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἵππεροι: ὡς ἴκτερος. ὁ περὶ τοὺς ἵππους τὸν ἔρωτα ἔχων. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' ἵππερόν μου κατέχεε τῶν χρημάτων. ἔπαιξε παρὰ τὸν ἴκτερον, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. οὕτως ἐπιβεβλῆσθαι τοῖς χρήμασιν ἀντὶ ἵππερον.

ι 529 Ἶπες: θηρίδια λυμαντικὰ ξύλων καὶ τῶν καρπῶν.

ι 530 Ἵππευε: ἵππων φρόντιζε.

ι 531 Ἵππευμα: πορείαν. Ἀριστοφάνης· ὡς μακρὸν ἵππευμα διώκεις ἀστεροειδέα νῶτα διφρεύους' αἰθέρος.

ι 532 Ἱππεύς.

ι 533 Ἱππεία: ἡ ἵππευσις. καὶ Ἱππεία φάτνη καὶ οὐρά.

ι 534 Ἵππειον κράτος: ἡ τοῦ ἵππου ἰσχύς. καὶ Ἵππειον θράσος. καὶ Ἵππειος ζυγός.

ι 535 Ἱππιολόφος.

ι 536 Ἱππείων ὁπλέων: τῶν ὀνύχων τῶν ἵππων.

ι 537 Ἱππεῖς: εἰς τέσσαρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς Πεντακοσιομεδίμνους, εἰς Ἱππέας, εἰς Ζευγίτας, εἰς Θῆτας. καὶ τοὺς μὲν Πεντακοσιομεδίμνους διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον· καὶ ἦσαν οὗτοι εὔποροι. οἱ δὲ Ἱππεῖς ἥττους μὲν τῶν Πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τ' ἐγεώργουν μέτρων. Ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴ ποτε χρεία γένοιτο, ἵππον ἕκαστον αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρῶτον χ' τὸν ἀριθμόν· οὗτοι δὲ μετὰ ταῦτα, τῆς πόλεως πληθυνούσης, ἐγένοντο σ' πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς ἐπιτιμᾶν καὶ κομᾶν. ἦσαν δὲ οἱ Θῆτες παρ' αὐτοῖς οἷς οὐκ ἐφεῖτο ἄρχειν ἢ δικάζειν ἢ ἐκκλησιάζειν μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ τρέφοιντο.

ι 538 Ἱππεῖς λευκοθώρακες. καὶ παροιμία· ἱππεῖς μὲν ἐν Θετταλίᾳ καὶ Θρᾴκῃ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ.

ι 539 Ἱππήλατον: εὐρύχωρον, πλατύ, λεῖον, ἐψιλωμένον.

ι 540 Ἱππημολγός: ὁ τοὺς ἵππους ἀμέλγων.

ι 541 Ἰπί: σκώληκι. ἴψ ἡ εὐθεῖα, ἰπός, ἰπί.

ι 542 Ἱππεία Ἀθηνᾶ: ταύτην Ποσειδῶνος εἶναί φασι θυγατέρα καὶ Πολύφης τῆς Ὠκεανοῦ· ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο Ἱππείαν κληθῆναι.

ι 543 Ἱππίας, Διοπείθους, Ἠλεῖος, σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

ι 544 Ἱππίας· οὗτος τῆς εἰς Ἀθηναίους ὀργῆς καὶ τῆς ὕστερον ὠμότητος προΐσχετο αἰτίαν τὸν Ἱππάρχου φησὶ θάνατον. καὶ πικρὸς ἐκ τούτων δεσπότης κάτω τοῦ χρόνου γενόμενος ὅμως οὐκ ἀπώνητο· ἤλασαν γοῦν οἱ Κεκροπίδαι αὐτόν. ὁ δὲ ἐκπεσὼν τῆς πατρίδος ἐπήγετο τοὺς Πέρσας συμμάχους, ὁρῶν ὃν εἶχεν ἔρωτα Δαρεῖος τῆς Ἀττικῆς, διὰ τὴν ἄτοπον ἐκείνην σπουδήν, ἵνα τὰ σῦκα τὰ Ἀττικὰ μὴ ἐν ἐλευθέρᾳ γῇ ἔτι, ἀλλὰ δούλῃ γένηται τῇ ἐκείνου. ἰὼν μὲν οὖν ὅδε Ἱππίας ἐπὶ τὴν ἑαυτοῦ πατρίδα σὺν τοῖς Πέρσαις καὶ ἐκπλήττων τοὺς βαρβάρους μέγα ἔπταρε, καὶ ἅτε γέρων ἤδη εἶχε τοὺς ὀδόντας κραδαινομένους. ἐκ τοίνυν τῆς βίας εἷς ὀδοὺς ἐξεκρούσθη καὶ κατώλισθεν εἰς τὴν ψάμμον καὶ εὑρεθῆναι ἀδύνατος ἦν. ἐπεὶ δὲ ἡττήθησαν οἱ βάρβαροι, φεύγων αὖθις εἰς Λῆμνον ἀφικνεῖται καὶ κάμνει νόσῳ καὶ τὴν ὄψιν τυφλοῦται, αἵματος ἐπιρρεύσαντός οἱ διὰ τῶν ὀφθαλμῶν, καὶ ἀλγεινῶς ἀπέθανε, δίκας ταύτας δοὺς τῇ πατρίδι, ἐπεὶ τοὺς βαρβάρους ἦγεν ἐπὶ καταδουλώσει αὐτῆς, μηνῖσαί τε τοὺς πατρίους θεούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 545 Ἱππίας, Ἀθηναίων στρατηγός. οὗτος Δαρεῖον παροξύνας ἐπὶ τοὺς Ἀθηναίους στρατεῦσαι καὶ τὴν Ἑλλάδα, διὰ Ἰνταφέρνους καὶ Δάτιδος σατραπῶν καὶ λʹ μυριάδων στρατοῦ, καὶ αὐτὸς σὺν αὐτοῖς κατῄει γηραιὸς ἤδη ὤν. καὶ ἐλθόντες ἐσαγήνευσαν μὲν Ἐρέτριαν καὶ τοὺς ληφθέντας τῷ βασιλεῖ ἔστειλαν. ὁ δὲ αὐτοὺς παρὰ τὰ Σοῦσα κατοικίζει, ἐφ’ οἷς καὶ Πλάτωνός ἐστιν ἐπίγραμμα· Εὐβοέων γένος ἐσμὲν Ἐρετρικόν· ἄγχι δὲ Σούσων κείμεθα, φεῦ γαίης ὅσσον ἀφ’ ἡμετέρης. ἐντεῦθεν ἐπὶ Μαραθῶνα ἦλθον. Ἀθηναῖοι δὲ ὑπὸ Μιλτιάδῃ στρατηγούμενοι τῷ Κίμωνος τοῖς βαρβάροις ἐπολέμησαν. ἐκάλουν δὲ ἐπὶ συμμαχίᾳ καὶ Λακεδαιμονίους διὰ Φιλιππίδου τοῦ ἡμεροδρόμου, ὃς τοὺς χιλίους καὶ πεντακοσίους σταδίους ἤνυσε διὰ μιᾶς νυκτός. καὶ ὅτι ὁ νόμος οὐκ εἴα στρατεύειν αὐτοὺς πρὸ πανσελήνου, καὶ παρῃτήσαντο. τῷ Φιλιππίδῃ δὲ ἐπανιόντι κατὰ τὸ Παρθένιον ὄρος τῆς Ἀρκαδίας ὁ Πὰν ἐντυχὼν ἐμέμψατο μὲν Ἀθηναίοις, ὡς μόνος θεῶν ἀμελούμενος, καὶ συμμαχήσειν ὑπέσχετο. οἱ δὲ Ἀθηναῖοι, συμβουλεύσαντος ἑνός, ἦσαν γὰρ δέκα, περιμεῖναι τοὺς Λακεδαιμονίους, Μιλτιάδου δὲ παραινοῦντος ἐξιέναι καὶ Καλλιμάχου, ἐξῆλθον αὐτοὶ μὲν ὄντες ͵θʹ, Πλαταιέας ἔχοντες ͵αʹ. καὶ ἐν αὐτῇ φασὶ τῇ ἡμέρᾳ ἐνίκησαν. ἐν τούτοις Καλλίμαχος ἐπὶ δοράτων εἱστήκει νεκρός, Πολύζηλος δὲ πηρωθείς, ὡς φάσμα θεασάμενος τῷ πώγωνι κρύπτων τὴν ἀσπίδα (σύμμαχον τὸν Πᾶνα δ’ εἰκάζουσιν εἶναι), ἐμάχετο ὡς ὁρῶν, καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους.

ι 546 Ἱππική· ὅτι εἰσὶ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γάρ ἐστιν ἱππική, ἡ δὲ δι’ ἁρμάτων, ἡ δὲ δι’ ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται ἱππεῖς καὶ ἱππικόν, τὸ δὲ ἄφιπποι. καὶ ἄφιπποι μὲν οἱ ἐπὶ δυοῖν ἀστρώτοιν συνδεδεμένοιν ὀχούμενοι· οἳ καὶ μεταπηδῶσιν ἀπ’ ἄλλου ἐπ’ ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ κυρίως ἱππικοῦ τὸ μέν ἐστι κατάφρακτον, ὃ καὶ τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται· τὸ δὲ ἀκατάφρακτον· οἱ μὲν δορατοφόροι ἢ κοντοφόροι ἢ ξυστοφόροι· καλοῦνται γὰρ τοῖς τρισὶν ὀνόμασιν. οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον τοῖς πολεμίοις δόρασι μαχόμενοι. τοῦτο δὲ οἱ μὲν δορατίοις χρῶνται, οἳ καλοῦνται Ταραντῖνοι· οἱ δὲ τόξοις, οἳ καλοῦνται ἱπποτοξόται· οἱ δὲ ἀκροβολισταί, οἷον οἱ πόρρωθεν βάλλοντες. οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται· καὶ καλοῦνται ἱππακοντισταὶ καὶ ἰδίως Ταραντῖνοι. οἱ δὲ τὰ μὲν πρῶτα ἐλαφροῖς ἀκοντίοις ἀκοντίζουσι πόρρωθεν, ἔπειτα δὲ καὶ πλησιάζοντες συμπλέκονται τοῖς πολεμίοις ἢ σπάθαις ἢ πελέκεσιν ἀπομαχόμενοι· οὕς φασιν ἐλαφρούς.

ι 547 Ἱππιολόφος.

ι 548 Ἱππιόθων: ὄνομα κύριον.

ι 549 Ἵππιος: Ποσειδῶν.

ι 550 Ἴπνια: τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ, τοῦ λεγομένου φούρνου. ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. λέγει δὲ τὴν κόπρον τῶν ζῴων Καλλίμαχος· σὺν δ’ ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ’ ἄειρεν. ἢ Ἰπνός, τὸ μαγειρεῖον, ἡ καπνοδόκη, ἢ ὁ φανός. Ἀριστοφάνης Πλούτῳ· ὁ δ’ ἰπνὸς γέγον’ ἐξαπίνης ἐλεφάντινος. καὶ Ἰπνοί, οἱ λαμπτῆρες, οἱ φανοί, οἱ λύχνοι.

ι 551 Ἰπνοπλάσθαι.

ι 552 Ἰπνός: ὁ φοῦρνος, ἡ κάμινος· ἢ ὁ φανός. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. ἰπνέστα πιαλέου φθοΐς. τουτέστι πλακοῦντος. ἢ μέρος τι τῆς οἰκίας, τὸ λεγόμενον παρ’ ἡμῖν μαγειρεῖον. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος.

ι 553 Ἱπποβότος: μεγάλην γῆν ἔχων, δυνάμενος ἵππους τρέφειν.

ι 554 Ἱππόβοτος, φιλόσοφος, ὃς ἔφησεν θʹ αἱρέσεις εἶναι τῶν φιλοσόφων. καὶ ζήτει ἐν τῷ αἵρεσις.

ι 555

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἱπποδάμεια: ἀγορὰ ἐν Πειραιεῖ, οὕτω καλουμένη ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

ι 556 Ἱππόδαμοι: ἐφ᾽ ἵπποις ἀναστρεφόμενοι.

ι 557 Ἱπποδασείης: ἐξ ἱππείων τριχῶν λόφον ἐχούσης, ὃ δὴ δασύ ἐστιν.

ι 558 Ἱπποθόων: τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος.

ι 559 Ἱππόθωνος: ὄνομα κύριον.

ι 560 Ἱπποκόμος: ὁ τῶν ἵππων ἐπιμελούμενος.

ι 561 Ἱπποκόωντος.

ι 562 Ἱππόλυτος· οὗτος ἔγραψεν εἰς τὰς ὁράσεις τοῦ Δανιὴλ ὑπόμνημα καὶ εἰς τὰς παροιμίας Σολομῶντος.

ι 563 Ἱππόλυτον μιμήσομαι: ἐπὶ τῶν σωφροσύνην ἐπαγγελλομένων.

ι 564 Ἱπποκράτης, Κῷος, ἰατρός, Ἡρακλείδου υἱός. προτετάχθω γὰρ καὶ τοῦ πάππου, τοῦ Ἡρακλείδου πατρός, εἰ καὶ ὁμώνυμος ἦν, διὰ τὸ ἀστέρα καὶ φῶς τῆς βιωφελεστάτης ἰατρικῆς γενέσθαι. ἀπόγονος δὲ Χρύσου τοὔνομα καὶ Ἐλάφου, τοῦ ἐκείνου παιδός, ἰατρῶν καὶ αὐτῶν. οὗτος μαθητὴς γέγονε τὸ μὲν πρῶτον τοῦ πατρός, μετὰ δὲ ταῦτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ Λεοντίνου, ῥήτορος καὶ φιλοσόφου· ὡς δέ τινες Δημοκρίτου τοῦ Ἀβδηρίτου, ἐπιβαλεῖν γὰρ αὐτὸν νέῳ πρεσβύτην· ὡς δέ τινες καὶ Προδίκου. διέτριψε δὲ ἐν Μακεδονίᾳ, φίλος ὢν σφόδρα τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας δὲ σχὼν δύο, Θεσσαλὸν καὶ Δράκοντα, κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς τεσσάρων καὶ ἑκατὸν καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. ἐν δὲ ταῖς εἰκόσιν ἱστορεῖται τὸ ἱμάτιον ἐπὶ τὴν κεφαλὴν ἀναβεβλημένος καὶ σκεπόμενος· ἢ ὅτι τοῦτο ἔθος ἦν αὐτῷ ἢ διὰ τὸ φιλαπόδημον ἢ τὸ ἴδιον ἐν ταῖς χειρουργίαις. οὗτος ἔγραψε πολλὰ καὶ πᾶσιν ἐγένετο διάδηλος· ὥστε καὶ τὸν τῶν Περσῶν βασιλέα, τὸν καλούμενον Ἀρταξέρξην, γράψαι πρὸς Ὑστάνην, τῆς τοῦ ἀνδρὸς σοφίας δεόμενον· βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ χαίρειν. Ἱπποκράτους ἰητροῦ Κῴου, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, ἐς ἐμὲ κλέος ἀφῖκται τέχνης. δὸς οὖν αὐτῷ χρυσόν, ὁπόσον ἂν βούληται, καὶ τἄλλα χύδην ὧν σπανίζει, καὶ πέμπε πρὸς ἡμέας. ἔσται γὰρ ἰσότιμος Περσέων τοῖσιν ἀρίστοισι. καὶ εἴ τις ἄλλος ἐστὶν ἀνὴρ κατ᾽ Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενος ὄλβου· ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην οὐ ῥᾴδιον. ἔρρωσο. αἱ μὲν οὖν γραφεῖσαι παρ᾽ Ἱπποκράτους βίβλοι πᾶσι τοῖς μετερχομένοις τὴν ἰατρικὴν ἐπιστήμην ἔκδηλοι· καὶ οὕτως αὐτὰς κατασπάζονται ὡς θεοῦ φωνὰς καὶ οὐκ ἀνθρωπίνου προελθούσας ἐκ στόματος. πλὴν τῶν ἐν πρώτοις καὶ ἡμεῖς ἀπομνημονεύσωμεν. πρώτη μὲν οὖν βίβλος ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα δὲ ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν· τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλλητος καὶ πολυθαύμαστος Ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

ι 565 Ἱπποκράτης, Γνωσιδίκου υἱός, Κῷος, πατὴρ Ἡρακλείδου τοῦ πατρὸς Ἱπποκράτους, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν Ἀσκληπιαδῶν· ἰατρικά.

ι 566 Ἱπποκράτης, Θεσσαλοῦ, Κῷος, ἰατρός· ἔγγονος δὲ Ἱπποκράτους τοῦ δευτέρου, τοῦ υἱοῦ Ἡρακλείδου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

ι 567 Ἱπποκράτης τέταρτος, ὁ Δράκοντος, ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε μὲν Ῥωξάνην, ὑπὸ δὲ Κασάνδρου τελευτᾷ, τοῦ υἱοῦ Ἀντιπάτρου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

ι 568 Ἱπποκράται δύο, ε′ καὶ ϛ′, ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην.

ι 569

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἱπποκράτης ζʹ, Κῷος καὶ αὐτός, ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.

ι 570 Ἱππομανές: οὕτω λέγεται τὸ ἐπιπεφυκὸς ἐπὶ τοῦ μετώπου τοῦ πωλαρίου, ὅπερ εὐθέως ἡ μήτηρ κατέδεται· ἔστι δὲ τοῦτο τῷ μεγέθει ἔλαττον ἰσχάδος, μέλαν, πλατύ, περιφερές. ἔστι δὲ εἰς πολλὰ δόκιμον.

ι 571 Ἱππομανῆ: μεγάλως μαινόμενον· ἢ τὸν ἐπὶ ἵππους μαινόμενον καὶ ἱππικόν· ἢ πρὸς τὸν λειμῶνα ἐκληπτέον. τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου τάσσεται· ὡς ἱπποσέλινον καὶ ἱππογνώμων, ὁ μεγαλογνώμων. εἰ δὲ ἐπὶ τοῦ λειμῶνος, τὸν ἄγαν ἀνθοῦντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. ἢ ὁ εὐανθής, ἐφ’ ᾧ οἱ ἵπποι μαίνονται. Σοφοκλῆς· σὲ τὸν ἱππομανῆ λειμῶν’ ἐπιβάντα.

ι 572 Ἱππόμαχος, Ἠλεῖος, κατεμαχέσατο τρεῖς ἀνταγωνιστὰς οὐδὲ πληγὴν δεξάμενος. καὶ Πολίτης τις ἐκ Κεράμου, τῆς ἐν Θρᾴκῃ Καρίας, τὴν ἀρετὴν ἀναφαίνων τῶν ποδῶν ἀπὸ μηκίστου καὶ διαρκεστάτου· καὶ δι’ ὀλιγίστου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον ὁμοῦ καὶ ὤκιστον.

ι 573 Ἱππομένης, Ἀθηναίων ἄρχων, ὃς ἐξέπεσε τῆς ἀρχῆς δι’ αἰτίαν τοιάνδε. ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀστῶν τινος αἰσχύναντος λάθρᾳ, ὑπ’ ὀργῆς καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ καὶ τροφὴν οὐδετέρῳ εἰσέπεμπε. πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ ἀναλώσας τε αὐτήν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως, ἀπ’ ἐκείνου ὁ χῶρος ἐκαλεῖτο ἵππου καὶ κόρης.

ι 574 Ἵππον εἰς πεδίον ἄξεις: ἀντὶ τοῦ ὅπου μοι ἐστὶ λυσιτελές.

ι 575 Ἱππόπορνε: ἀντὶ τοῦ μεγαλόπορνε· σπανίως. Ἀριστοφάνης· καὶ Καλλίαν γέ φασι τὸν Ἱπποβίνου κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον. παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν· ἱππόπορνε. κωμῳδεῖται δὲ ὁ Καλλίας πανταχοῦ, ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ὀνοματοποιεῖ δὲ πάντα πρὸς μαλακίαν αὐτοῦ.

ι 576 Ἱπποποτάμιοι: ζῷα ἀδικώτατα. καὶ ζήτει ἐν τῷ ἀντιπελαργεῖν.

ι 577 Ἵππος· Δέξιππος· ὁ δὲ ἵππος αὐτῷ ἤσκητο ἄρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι καὶ βάδην προϊόντος πραότατα ἵστασθαι καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέστατα ἐπιστρέφειν. ὅτι ἵπποι σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν. λύσις ὀνείρου· ἵππους μελαίνας οὐ καλὸν πάντως βλέπειν. ἵππων δὲ λευκῶν ὄψις ἀγγέλων φάσις. ὅτι τὸ ἵππους τρέφειν δοκεῖ δαπανηρὸν εἶναι. ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ τούτους οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. ἔστι δὲ αὕτη· οἰκοδομά σε λάβοι καὶ ἀμβολά, ὁ δὲ ἵππος καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι· ὡς τούτων πάντων δαπανηρῶν ὄντων καὶ ἐπιζημίων.

ι 578 Ἵππος Νισαῖος: μεταξὺ τῆς Σουσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐστὶ Καταστιγώνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῖσος καλεῖται· ἐνταῦθα ἵπποι διάφοροι γίνονται. οἱ δὲ ἀπὸ Ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος τῆς Μηδίας εἶναι τὸν τόπον Νισαῖον. ὁ δὲ Πολέμων κακῶς φησι λευκὸν ἵππον Νισαῖον. ἐν δὲ Δίκτυϊ Ὀρφεὺς λέγει. ὅτι ἡ Νίσα τόπος ἐστὶν ἐν Ἐρυθρᾷ κείμενος.

ι 579 Ἱπποσύνη: ἡ περὶ τοὺς ἵππους ἐμπειρία.

ι 580 Ἱπποστράτηγος Ἀλεξάνδρου Ἀλκέτας ἦν.

ι 581 Ἱππότης: ἱππεύς, ἔφιππος. εἶδε νεκρὸν κείμενον ἱππότην ἄριστον καὶ κατὰ χεῖρα πλῆξαι δυνάμενον, κείμενον αὐτῷ ἵππῳ.

ι 582 Ἰππούμενος: πιεζόμενος, ἀναγκαζόμενος. Ἀριστοφάνης Ἱππεῦσιν· ἰππούμενος ταῖς συμφοραῖς.

ι 583 Ἵππουριν: τὴν ἐξ ἱππείων τριχῶν κατεσκευασμένον λόφον ἔχουσαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 584 Ἱπποφορβός: ἱπποτρόφος· φορβὴ γὰρ ἡ τροφή. καὶ Ἱπποφόρβιον, ἔνθα οἱ ἵπποι τρέφονται.

ι 585 Ἴπτω: βλάπτω. μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. Ἰπῶ δὲ περισπωμένως ἀντὶ τοῦ θλίβω. καὶ Ἀριστοφάνης· ἰπούμενος ταῖς συμφοραῖς.

ι 586 Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλον ἐπίβαλλε: ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥᾳστώνης τινὸς καὶ ἀναπαύλης.

ι 587 Ἵππων, Ἵππωνος: ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸν τόπον, ἐν ᾧ οἱ ἵπποι ἵστανται. Ἱππῶν δὲ περισπωμένως.

ι 588 Ἱππῶναξ, Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος, ἰαμβογράφος. ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.

ι 589 Ἵπταται: πέτεται.

ι 590 Ἴπτω: βλάπτω· αἰτιατικῇ.

ι 591 Ἵπυς, Ῥηγῖνος, ἱστορικός, γεγονὼς ἐπὶ τῶν Περσικῶν, καὶ πρῶτος ἔγραψε τὰς Σικελικὰς πράξεις, ἃς ὕστερον Μύης ἐπετέμετο· Κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', Χρονικὰ ἐν βιβλίοις ε', Ἀργολικῶν γ'. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

ι 592 Ἱρά: ἐκκλησία· καὶ πληθυντικὸν ἱραί. ἱράων προπάροιθεν. Ὅμηρος.

ι 593 Ἱρέων: ἐθνικόν.

ι 594 Ἱρεῖον: θυσία.

ι 595 Ἱρεῖς: ἐθνικόν.

ι 596 Ἱρή: πόλις.

ι 597 Ἰριδανός: ποταμός.

ι 598 Ἶρις: νέφους ὑγρότης κατ' ἔμπτωσιν ἡλίου πεποικιλμένου, οἷον τὸ τόξον. ἢ αὐγαὶ ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμέναι. ἢ ἔμφασις ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει δεδροσισμένῳ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην, κατὰ κύκλου περιφέρειαν. τῆς Ἴριδος τὸ χλωρὸν ἀέρος σημαντικόν, τὸ πυρρὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων.

ι 599 Ἶρις: ἀρσενικὸν ὄνομα ποταμοῦ. θηλυκὸν δὲ σημαίνει τὴν ἄγγελον τῶν θεῶν.

ι 600 Ἶρος: ὁ πτωχός· διὰ μακροῦ τοῦ ι. Ἱρὸς δὲ ὁ ἱερός, κατὰ κρᾶσιν. χῶρος ὅδ' ἱρός, ὡς ἀπεικάσαι, βρύων δάφνης, ἐλαίας, ἀμπέλου· πυκνότεροι δ' εἴσω κατ' αὐτὸν εὐστομοῦς' ἀηδόνες.

ι 601 Ἱρῶν μηνίσας· παρὰ Ὁμήρῳ.

ι 602 Ἵρτιος: ὄνομα κύριον.

ι 603 Ἴς: δύναμις, νεῦρα.

ι 604 Ἴσα: πόλις. Ἶσα δὲ τὰ ὅμοια.

ι 605 Ἴσσα: ἐπίφθεγμα ἐπὶ τῶν ἀπολαχόντων καὶ ὅλως δυσπραγούντων. ἔστι καὶ ἐν Μεσσηνίᾳ Μενάνδρου καὶ ἑτέρωθι.

ι 606 Ἰσαάκ: ὄνομα κύριον. ὅτι ἐπιξενωθεὶς ὁ θεὸς τῷ Ἀβραὰμ ἐπηγγείλατο τέξεσθαι Σάρραν αὐτῷ παῖδα. ἡ δὲ ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσηγορεύθη φερωνύμως τῷ μεθ' ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον.

ι 607 Ἶσα βαίνων Πυθοκλεῖ: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου· ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μὴ βραχὺ ἀφιστάμενος. καὶ Μένανδρος· παρ' αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτελής. ἶσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν, ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων καὶ δυσελπίστων. Ἀριστοφάνης Ὄρνισι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 608 Ἰσάγγελος: ἶσος ἀγγέλῳ.

ι 609 Ἰσακίῳ: ἀνδρείῳ.

ι 610 Ἴσακος: Ἑλληνιστὶ εἴρηται ὁ Ἰσαάκ.

ι 611 Ἴσαμεν καὶ Ἴσασι, γινώσκουσιν.

ι 612 Ἴσαν: ἐπορεύθησαν. παρ' Ὁμήρῳ, καὶ μόνον· σημαίνει δὲ καὶ τὸ ἔγνωσαν.

ι 613 Ἴσανδρος: ὄνομα κύριον.

ι 614 Ἴσας δ' ὑσμίνῃ κεφαλὰς ἔχον: ἥ τε τῶν Ἑλλήνων, φησί, καὶ ἡ τῶν βαρβάρων μάχη ἰσοκέφαλος ἦν.

ι 615 Ἴσασι: γινώσκουσιν. οἱ γὰρ κακοί, γνώμαισι τἀγαθὸν χεροῖν ἔχοντες, οὐκ ἴσασι πρίν τις ἐκβάλῃ.

ι 616 Ἴσαυροι· ζήτει ἐν τῷ βρύχιος.

ι 617 Ἴσατο: καθίδρυσεν.

ι 618 Ἰσδιγέρδης: ὄνομα κύριον.

ι 619 Ἰσραηλίτης: Ἑβραῖος.

ι 620 Ἰσαῖος: εἷς μέν ἐστι τῶν δέκα ῥητόρων, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος. Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν εἶναι. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ ὡς Δημοσθένην ἀμισθὶ προαγαγών. ὅτι Ἰσαίου τοῦ ῥήτορος νεωτέρου ἀσωτευομένου, ὕστερον δὲ σωφρονήσαντος, ἤρετο αὐτόν τις· τίς ἄριστος τῶν ἰχθύων καὶ τῶν ὀρνέων εἰς βρῶσιν; πέπαυμαι, ἔφη ὁ Ἰσαῖος, ταῦτα σπουδάζων· ξυνῆκα γὰρ τοὺς Ταντάλου κήπους τρυγῶν· ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα, ὅτι σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

ι 621 Ἰσσαῖος: ὁ πολίτης.

ι 622 Ἰσαιών, Ἰσαιῶνος: ὄνομα κύριον.

ι 623 Ἴσαι ψῆφοι: ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκομένων. ἀναλύονται γὰρ οἱ διωκόμενοι ἀπὸ τῶν δικαζομένων, ἂν ἶσαι γένωνται ψῆφοι, ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος.

ι 624 Ἴσαι ψῆφοι· Αἰσχίνης κατὰ Κτησιφῶντος· ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρῴην μέν ποτε εἰσηγγέλθη, καὶ ἶσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο. εἰ δὲ μία ψῆφος ὑπερέπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν.

ι 625 Ἶσαι ψῆφοι· ὡς ἀπόλοιτο, κἂν ἶσαι ψῆφοι γένωνται. ὑπερβολικῶς εἴρηται. ὅταν γὰρ αἱ ψῆφοι ἶσαι γένωντο, ἀπελύετο ὁ κατηγορούμενος.

ι 626 Ἰσηγορεῖ: ἐπίσης λέγει, ἰσολογεῖ. Πολύβιος· οὔσης δημοκρατίας παρὰ τοῖς Μεσσηνίοις καὶ τῶν μὲν ἀξιολόγων ἀνδρῶν πεφυγαδευμένων, τῶν δὲ κατακεκληρουχημένων τὰς τούτων οὐσίας ἐπικρατούντων τῆς πολιτείας, δυσχερῶς ὑπέφερον τὴν τούτων ἰσηγορίαν οἱ μένοντες τῶν ἀρχαίων πολιτῶν.

ι 627 Ἰσηλίκων: τῆς αὐτῆς ἡλικίας. γυναικῶν ἰσηλίκων χορὸν ἑαυτὴν περιχέασα· γηραιαὶ αὗται, χορὸς θεοφιλής· καὶ καθεῖσαι τὰς παλαιὰς ἐκείνας κόμας ἐθεοκλύτουν.

ι 628 Ἴσημι: γινώσκω.

ι 629 Ἰσίδωρος, πρεσβύτης, ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ. ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν γραφὴν τρισχιλίας γέγραφε, καὶ ἄλλα τινά.

ι 630 Ἰσίδωρος· καὶ ζήτει ἐν τῷ Ἀπίκιος Μάρκος.

ι 631 Ἰσίδωρος, φιλόσοφος· ὃς ἐφιλοσόφησε μὲν ὑπὸ τοῖς ἀδελφοῖς, εἴπερ τις ἄλλος ἐν τοῖς μαθήμασιν ἐπιμελής τε ἐν ἱεροῖς καὶ τὰ πρὸς ταῦτα κατασκευάζειν ἅπαντα, ὡς ἔπος εἰπεῖν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱκανώτατος εἰς ὑπερβολήν. ἐμοί τε δοκεῖν τὴν ζωὴν μὲν ἦν φιλόσοφος, τὰ δὲ πρὸς ἐπιστήμην οὐ διεξητασμένος, ἀγύμναστος ὢν μᾶλλον ἢ ἀφυὴς τὰ διαλεκτικά. νέῳ δὲ ὄντι θαυμαστόν τι συμβέβηκεν. ἀδελφῆς γὰρ υἱὸς αὐτῷ καὶ ἡλικιώτης, ἔτη ιη′ γεγονώς, ἐπιδειξάμενος εὐθὺς ἐκ νέων φύσεώς τινα ῥώμην δαιμονίαν, ἀπὸ τοῦ τέγους πεσὼν ἐτελεύτα παραχρῆμα τὸν βίον· καὶ πένθους ἐπ' αὐτῷ μεγάλου συνεστῶτος, ἐπιφοιτῶν ἐνύπνιος τῷ Ἰσιδώρῳ τοῦτον παρεμυθεῖτο.

ι 632 Ἰσίδωρος, ὁ ἐν Χίῳ μαρτυρήσας ὑπὲρ Χριστοῦ καὶ περιβόητος ἐν τοῖς θαύμασιν γεγονώς· ἦν δὲ ἐξ Αἰγύπτου.

ι 633 Ἰσσικὸς κόλπος.

ι 634 Ἰσσινίας: ὄνομα κύριον.

ι 635 Ἶσις, Ἴσιδος. ὄνομα δαίμονος. καὶ ἡ κλητική, ὦ Ἶσι. σὺ δέ, ὦ Ἶσι τάλαινα, μενεῖς ἐπὶ χεύματα νήσου.

ι 636 Ἶσις· αὕτη λέγεται Ἰώ· ἣν ἥρπασεν ὁ Ζεὺς ἐξ Ἄργους καὶ τὴν Ἥραν φοβούμενος μετέβαλεν αὐτὴν ποτὲ μὲν εἰς λευκὴν βοῦν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ ἰάζουσαν· μεθ' ἧς πλανώμενος ἦλθεν εἰς Αἴγυπτον. τιμῶσιν οὖν Αἰγύπτιοι τὴν Ἶσιν· διὸ ἐπὶ τῆς κεφαλῆς τοῦ ἀγάλματος αὐτῆς κέρατα βοὸς γλύφουσι, δηλοῦντες τὴν ἐπὶ βοῦν τῆς κόρης μεταβολήν.

ι 637 Ἴσθι: γίνωσκε.

ι 638 Ἴσθμια: περιστόμια, περιδέραια, περιτραχήλια. λέγονται δὲ καὶ ἑορταὶ Ἑλλήνων. καὶ παροιμία· Ἰσθμιάζειν, ἐπὶ τῶν κακῶς βιούντων. ἐπίνοσος γὰρ ὁ τῶν Ἰσθμίων καιρός. Ἴσθμιον ἀμφιφορῆ, ὁ τράχηλος τοῦ κεράμου, διὰ τὸ στενὸς εἶναι.

ι 639 Ἰσθμικὴ πίτυς: ἆθλον ἐπινίκιον.

ι 640 Ἰσθμός: θάλασσα μεταξὺ δύο γαιῶν· πορθμὸς γὰρ γῆ μεταξὺ δύο θαλασσῶν. Ἀριστοφάνης· ἰσθμόν τιν' ἔχεις, ἄνθρωπ', ἄνω τε καὶ κάτω τὸ πέος διέλκεις, πυκνότερον Κορινθίων. ἐπεὶ τὰς ναῦς διὰ τοῦ Ἰσθμοῦ εἷλκον οἱ Κορίνθιοι, ὥστε μὴ περιέρχεσθαι. τοῦτο δὲ διϊσθμονίσαι ἐκάλουν.

ι 641 Ἰσκαριώτης: σκηνὴ θανάτου.

ι 642 Ἴσκεν· ὡς τό, ἴσκε ψεύδεα πολλὰ λέγων. καὶ Ἴσκειν, εἰκάζειν.

ι 643 Ἵσμα: ἵδρυμα.

ι 644 Ἰσμαήλ: ὁ μεθ' ἡδονῆς γέλως Ἑβραϊστί. καὶ Ἰσμαηλίτης, ὁ ἀπὸ Ἰσμαήλ.

ι 645 Ἰσμαρικὸς οἶνος· Ἀρχίλοχος· ἐν δορὶ δ' οἶνος Ἰσμαρικός· πίνω δ' ἐν δορὶ κεκλιμένος. Ἴσμαρος δὲ πόλις, ἡ νῦν Μαρώνεια λεγομένη.

ι 646 Ἴσμεν: οἴδαμεν.

ι 647 Ἰσμηνίας: εἷς παρ' Ἀθηναίοις ἦν πολέμαρχος ἐπιφανής.

ι 648 Ἰσοδαίτης: ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

ι 649 Ἰσοκλέης: ἰσόδοξος.

ι 650 Ἰσμήνης· ζήτει ἐν τῷ σημαίνει.

ι 651 Ἰσόκωλον: τὸ ἶσα μέρη ἔχον. λέγει δὲ Ἀριστοτέλης ὅτι, ἐὰν συνθέτου τινὸς λόγος ἀποδοθῇ τοσαῦτα μέρη ἔχων, ὅσα καὶ τὸ σύνθετον ἔχει, οὗ ὁ ὁρισμὸς ἀποδίδοται, οὐκ ἔσται οὗτος ὁ λόγος ὁρισμὸς ἐκείνου. ἐν γὰρ τοῖς οὕτως ἀποδιδομένοις λόγοις ἀναγκαῖον ὀνομάτων εἰς ὄνομα τὴν μετάληψιν γεγονέναι.

ι 652 Ἰσοκράτης, Θεοδώρου αὐλοποιοῦ, Ἀθηναῖος, ῥήτωρ, γενόμενος ἐπὶ τῆς πς′ ὀλυμπιάδος, ὅ ἐστι μετὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαρρησίαστον δίκας οὐκ εἶπεν, ἐδίδαξε δὲ πλείστους, καὶ λόγους γέγραψε λβ′· βιώσας δὲ ἔτη ς′ πρὸς τοῖς ρ′ ἐτελεύτησεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδελφοὶ δὲ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηστος καὶ Θεόδωρος· διδάσκαλος δὲ Γοργίας, οἱ δὲ Τισίαν φασίν, οἱ δὲ Ἐργῖνον· οἱ δὲ Πρόδικον ἔφασαν, οἱ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτοῦ πλεῖστοι.

ι 653 Ἰσοκράτης, Ἀμύκλα τοῦ φιλοσόφου, Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ, ἢ Ἡρακλείας, ὡς Καλλίστρατος ὁ ῥήτωρ· μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. οὗτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδιοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ, ἅμα τῷ Ἐρυθραίῳ Ναυκρατίτῃ διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ βασιλέως Ἁλικαρνασσοῦ. καὶ λόγοι αὐτοῦ ε′· Ἀμφικτυωνικός, Προτρεπτικός, Περὶ τοῦ τάφον μὴ ποιῆσαι Φιλίππῳ, Περὶ τοῦ μετοικισθῆναι, Περὶ τῆς ἑαυτοῦ πολιτείας.

ι 654 Ἰσοκράτης εἶπεν· ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

ι 655 Ἰσολογία: ἰσοτιμία. διαψευσθεὶς δὲ τῆς κρίσεως ἐν οὐδενὶ τῶν ἀμφισβητουμένων ἰσολογίαν ἕξειν οὐδέποτε πρὸς τὸ συνέδριον.

ι 656 Ἴσον καὶ ἄνισον. ζήτει ἐν τῷ ἀμπλάκημα, καὶ ζήτει ἐν τῷ ἴσον.

ι 657 Ἴσοξ: ὄνομα ἔθνους.

ι 658 Ἰσοπαλῆ: ἶσα ἐν κλήρῳ. πάλος γὰρ ὁ κλῆρος.

ι 659 Ἰσόπεδον: εἰς ὁμαλὸν τόπον.

ι 660 Ἰσόρροπον: ἰσοβαρές, ἰσοστάσιον.

ι 661 Ἰσός: ὄνομα ποταμοῦ.

ι 662 Ἰσσός: ὄνομα πόλεως. Ἶσος δὲ ὁ ὅμοιος· καὶ περισπᾶται. ἐξ οὗ καὶ ἰσότερος.

ι 663 Ἰσοσθενής: ἰσοδύναμος.

ι 664 Ἰσοστάσιον: ἰσόσταθμον.

ι 665 Ἰσοτελεῖς: οἱ ἀπὸ τοῦ μετοικεῖν κατά τινα τιμὴν παρὰ τοῦ δήμου γενομένην κατὰ ψήφισμα μεταβαίνοντες εἰς τὸ τῶν δημοποιήτων δίκαιον ἰσοτελεῖς ὠνομάζοντο. ἐγίνετο δὲ τοῦτο τοῖς μετοίκοις ὑπὸ τῆς πόλεως, ὅταν ἔδοξαν εὖ πεποιηκέναι τὸ κοινόν.

ι 666 Ἰσοτελεῖς: ἶσα τελοῦντες. ἶσα τοῖς ἀστοῖς, ὅ ἐστι τοῖς πολίταις, τέλη διδόντες.

ι 667 Ἰσοτελὴς καὶ Ἰσοτέλεια: πολλάκις τιμή τις ἐδίδοτο τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ’ ἣν τοῦ μετοικίου ἄφεσις αὐτῶν ἐγίγνετο. ὅτι δὲ καὶ τῶν ἄλλων, ὧν ἔπραττον οἱ μέτοικοι, ἄφεσιν εἶχον ἰσοτελεῖς Θεόφραστος λέγει. καὶ πόλεσι δὲ ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις καὶ Θηβαίοις. ὁ δὲ ἰσοτελὴς ὡρισμένον τι τέλος ἐδίδου.

ι 668 Ἰσότης φιλότης: αὕτη γνωμικὴ δηλοῦσα ὡς ἰσότης τὴν φιλίαν συνέχει.

ι 669 Ἰσουργός: ἴσα ἐργαζόμενος.

ι 670 Ἰσοϋψεῖς οἰκίαι καὶ παράλληλοι τῷ τείχει, ἐν Σιφλῷ οὖσαι καταλύματα τοῖς ἐργαζομένοις τὰ χρύσεια μέταλλα. ἰσοϋψὴς οὖν ἰσοϋψοῦς κλίνεται.

ι 671 Ἰσοφαρίζειν: ἐξισοῦσθαι.

ι 672 Ἰσοφωνία.

ι 673 Ἰσοφυᾶ: ἶσα.

ι 674 Ἰσοχειλεῖς: μέχρι χείλους πεπληρωμένοι. ἦσαν δὲ κρατῆρες οἴνου ἰσοχειλεῖς.

ι 675

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἴσῳ ζυγῷ: ἀντὶ τοῦ ἐξίσης. ὁ δὲ ἀγαπήσας αὐτὸν καὶ φιληθεὶς τὸ λεγόμενον ἴσῳ ζυγῷ παρ' ἐκείνου, ἡδέως μὲν αὐτῷ συνῆν, ἔπραττε δὲ οὐδὲν ὧν μὴ πρότερον ἐκεῖνος πύθοιτο καὶ φήσειεν εἶναι πρακτέον.

ι 676 Ἰσωνία: ἰσοτιμία. ἢ ἡ ἴση ἀγορά.

ι 677 Ἴσωτο.

ι 678 Ἱσπανία: χώρα. ἢ καὶ Ἰβηρία καὶ Ἑσπερία καλεῖται.

ι 679 Ἰσραηλίτης: Ἑβραῖος.

ι 680 Ἴστε: γινώσκετε.

ι 681 Ἰστέον: δεῖ γινώσκειν.

ι 682 Ἵσταμαι· γενικῇ.

ι 683 Ἵστη: ἵστανε, στῆσον, προστακτικῶς.

ι 684 Ἵστημι· αἰτιατικῇ.

ι 685 Ἱστία: ἡ καθέδρα.

ι 686 Ἱστιατορίαν: δειπνητορίαν.

ι 687 Ἱστιαία: πόλις. καὶ Ἱστιαῖος, ὄνομα κύριον.

ι 688 Ἱστίαιτον: ὄνομα τόπου.

ι 689 Ἱστίον: ἄρμενον. πλήρεσιν ἱστίοις ἐς τὴν αὐτοῦ σοφίαν καθῆκεν. ἀντὶ τοῦ παντὶ σθένει, πάσῃ δυνάμει, ὅλῃ ψυχῇ. καὶ παροιμία· Θύειν Ἱστίᾳ. εἴρηται ἡ παροιμία κατὰ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. δι' ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἱστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας.

ι 690 Ἱστίον σαπρόν: ἄρμενον παλαιόν, τρίβακον ἢ μὴ ἁρμόζον. Ἀριστοφάνης· ἀντὶ τοῦ ἱστίον σαπρόν. ὥσπερ ἐπιγνούσης ὀψὲ τῆς φύσεως αὐτοῦ τὸ οἰκεῖον ἔργον, οὐ κατὰ μικρόν, ἀλλ' ὅσοις ἱστίοις ἀπηνέχθη τῆς σοφιστικῆς προαιρέσεως, ἐπειδὴ τὸ πρῶτον ἐφιλοσόφησεν.

ι 691 Ἱστιορράφος: πανοῦργος. ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ οἱ Αἰγύπτιοι δὲ λινοποιοί εἰσιν. Ἀριστοφάνης· ὀλίγου ταύτην ἱστιορράφος.

ι 692 Ἱστίοις: τοῖς τοῦ πλοίου λαίφεσιν. Ἀριστοφάνης· μὴ πρὸς ὀργὴν ἀντιλέξεις, ἀλλὰ συστείλας, ἄκροισι χρώμενος τοῖς ἱστίοις, εἶτα μᾶλλον μᾶλλον ἄξεις, ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον, καθεστηκὸς λάβῃς.

ι 693 Ἱστιοφόρος: ἀρμενοφόρος.

ι 694 Ἱστοδόκη: ἡ ὑποδεχομένη τὸν ἱστόν.

ι 695 Ἱστοπέδη: ξύλον ὀρθὸν ἀπὸ τῆς τρόπιδος, ᾧ προσδέδεται ὁ ἱστός.

ι 696 Ἱστορημέναι: πρὸς θέαν ἱστάμεναι. οὕτω γὰρ ἦσαν ἱστορημέναι μόνον, ὡς ζωγραφοῦσιν οἱ γραφεῖς τὰς εἰκόνας.

ι 697 Ἱστορῆσαι: θεάσασθαι. ὅτι ὁ Ἑκαταῖος πρῶτος ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν Φερεκύδης· τὰ γὰρ Ἀγησιλάου νοθεύεται.

ι 698 Ἵστορι: μάρτυρι, ἢ κριτῇ.

ι 699 Ἱστορία: ἡ θέα. οὐ γὰρ τί που παραπλήσιον ἢ μυστηρίων ἱστορίαν ἢ τὴν Περσεφόνην ἐθελῆσαι ἁρπάσαι αὐτήν;

ι 700 Ἵστορος: ἐπιστήμονος.

ι 701 Ἱστός: τὸ κατάρτιον.

ι 702

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἴστω: γινωσκέτω. καὶ Ἵστω, ἀντὶ τοῦ ἵστασο. ἵστω παρ’ αὐτήν, δεῦρ’ ἴθι κομμώτρια.

ι 703 Ἱστῶκος καὶ Ἱστῶνος: ἐν ᾧ οἱ ἱστοί.

ι 704 Ἵστωρ: ὁ ἐπ’ ἄκρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος πάτταλος.

ι 705 Ἴστωρ, ὑπερίστωρ, πανσύρτῳ, παμμήνῳ πολλῶν δεινῶν στυγνῶν τ’ ἀχέων· Σοφοκλῆς. κἀγὼ τοῦδ’ ἴστωρ, ἀντὶ τοῦ κἀγὼ τούτου ἐπιστήμων εἰμί, ὅτι ταλαίπωρός εἰμι· οἶδα, ὅτι δειλαία εἰμί, αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων, τουτέστι τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. παμμήνῳ δὲ τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμι, ὅτι πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν.

ι 706 Ἴστρος, Μενάνδρου, Ἴστρου, Κυρηναῖος ἢ Μακεδών, συγγραφεύς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ β′ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

ι 707 Ἴσχανα: ἔξυσα, ἐλέπτυνα. Ἀριστοφάνης· ἴσχανα τὴν τέχνην ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς· ἀντὶ τοῦ διατριβαῖς, ὡς ἐπὶ ἀσθενοῦντος. χυλὸν δοὺς ἐγὼ μυλμάτων ἀπὸ βιβλίων ἀπὸ ἠθῶν· οὐκ ἀπὸ πτισάνης, ἀλλ’ ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

ι 708 Ἴσχανδρος, τραγικὸς ὑποκριτής.

ι 709 Ἰσχάνει: κωλύει.

ι 710 Ἰσχανόωσα: κωλύουσα. καὶ Ἰσχανόωσι, κωλύουσι, κατέχουσιν. Ἰσχανόω δὲ τὸ ἐπιθυμῶ· γενικῇ.

ι 711 Ἰσχάς: ἰσχνάς τις οὖσα· ἐπειδή, πρὶν ἢ δοθῆναι τὴν κρεωφαγίαν τοῖς Ἀθηναίοις, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἐπειδὴ μέχρι τούτου προβαίνει· πρῶτον γὰρ ὄλυνθος, εἶτα φίληξ, εἶτα σῦκα, εἶτα ἰσχάς, ἴσχειν ποιοῦσα τὴν αὔξησιν. πάντα δὲ τὰ τραγήματα ἰσχάδας ἐκάλουν. Ἀριστοφάνης Πλούτῳ· ἀνίσταθ’ ὡς ἁρπασόμενος τῶν ἰσχάδων. οὗ καὶ πίονα τυρὸν δρέψεσθε καὶ αὔην ἰσχάδα. καὶ Ἀριστοφάνης· κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας. ὥσπερ, φησίν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ Πνυκὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει.

ι 712 Ἴσχε: κάτεχε. καί, ἴσχε, τέκος. καὶ Ἴσχειν, τὸ ἔχειν.

ι 713 Ἴσχενος.

ι 714 Ἴσχεο: πέπαυσο.

ι 715 Ἴσχεσθαι: παύσασθαι.

ι 716 Ἰσχέτω: κατεχέτω. ἴωμεν ἤδη, μηδὲν ἡμᾶς ἰσχέτω.

ι 717 Ἴσχειν: τὸ ἔχειν. οὐκ ἐξῆν κιχλίζειν οὐδὲ τὼ πόδε ἴσχειν ἐναλλάξ. Ἀριστοφάνης φησί· τοὺς δὲ ξενίζειν οὐδέποτ’ ἴσχει γ’ ἡ θύρα. ἀντὶ τοῦ κωλύει, ἀποκλείει. ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων.

ι 718 Ἰσχιάζειν: τὸ ἐν τῷ βαδίζειν ἐπιπολὺ ἑκατέρως ἑαυτὸν μεταφέρειν.

ι 719 Ἰσχίον: τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται. παρὰ τὸ ἴσχειν τοὺς καθημένους.

ι 720 Ἰσχνομυθίας: λεπτολογίας.

ι 721 Ἰσχνομυθοῦντες: ἀκριβολογοῦντες. Ἰσχνὸς γὰρ ὁ ξηρός.

ι 722 Ἴσχω· αἰτιατικῇ· κρατῶ.

ι 723 Ἰσχύων· ὃς καὶ πτερόεντ’ ἀετὸν κίχε καὶ θαλασσαῖον παραμείβεται δελφῖνα· Πίνδαρος τοῦτό φησιν.

ι 724 Ἰσχύων· αἰτιατικῇ. ὅταν τις θεῶν βλάπτῃ, δύναιτ’ ἂν οὐδ’ ἂν ἰσχύων φυγεῖν.

ι 725 Ἰσχυρὰν θέρμην εἶχεν ὁ βασιλεύς· διὸ καὶ πλειόνων ἡμερῶν ἐν τῇ πόλει διέτριψεν.

ι 726 Ἰσχυρίζετο: ἀντὶ τοῦ διεβεβαιοῦτο. ὁ δὲ πρηνὴς κείμενος ἰσχυρίζετο οὐδὲν τοῖς Βεροιαίοις ὑπολελεῖφθαι τῶν πάντων χρημάτων. καὶ αὖθις· ταῦτα γράφω οὐκ αὐτὸς θεασάμενος, ἀλλὰ τῶν θεάσασθαι ἰσχυριζομένων ἀκούσας.

ι 727 Ἰσχυρίσκος: ἀντὶ τοῦ ἰσχυρός. οὕτως Ἄλεξις.

ι 728 Ἰσχυρογνώμων· ὁ δὲ ἐπὶ τοῖς ἁμαρτανομένοις ἰσχυρογνώμων. ἔξαρνος, σκληρός. ὁ δὲ Σωκράτης ἰσχυρογνώμων ἦν καὶ δημοκρατικός.

ι 729 Ἰσχυρόν: μέγα, βαθύ. ἀλλ' οὐκ οἶμαι ζῆν αὐτὴν ἔτι, ἰσχυρὸν τραῦμα λαβοῦσαν ὑπ' ἐμοῦ. καὶ αὖθις· πνευμάτων δὲ ἐπιγενομένων ἰσχυρῶν, ἔνιοι σὺν τοῖς ὑποζυγίοις εἰς τὴν ὑποκειμένην θάλασσαν κατηνέχθησαν.

ι 730 Ἰσχυρός: ἰσχύος καὶ δυνάμεως εὖ ἔχων. Ἰώσηπος· ὁ δὲ Σαμψών, ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν, ἀντηπάτα τὴν γυναῖκα. καὶ αὖθις· ἰσχυρῶς εἴχετο τοῦ ἀνδρός. ἐρωτικῶς. καὶ Αἰλιανός φησιν· οὕτως ἄρα αἱ ἰσχυραὶ τιμωρίαι πολλάκις εἰς τοὺς εὑρόντας αὐτὰς περιτρέπονται, καὶ ὅσα προσέταξαν παθεῖν ἕτερον, αὐτοὶ πεπόνθασιν.

ι 731 Ἰσχυρότατος.

ι 732 Ἰσχύς· ἰσχύς ἐστι συμμετρία τῶν ὁμοιομερῶν, νεύρων τε καὶ ὀστῶν καὶ πνεύματος. τὰ χωρία ἰσχυρῶς ὄρθια ἦν καὶ λίθων περιβολαῖς ὠχύρωτο.

ι 733 Ἰταβύριον: ὄρος οὕτω καλούμενον.

ι 734 Ἰταλιώδης: ὁ ἀλαζών. ἀπὸ τῶν Πυθαγορικῶν. διὰ τὴν Σύβαριν, ὁ λάγνος.

ι 735 Ἰταλία ἡ Ῥώμη. Ἀττάλεια δέ.

ι 736 Ἰταμός: ἀναιδής, σκληρός, ὠμός· παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν· τοιοῦτοι γὰρ καὶ οἱ ἀναιδεῖς. ἡ δὲ νῦν μὲν ἐγέλα ἰταμόν τε καὶ ἀναίσχυντον ἢ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη. καὶ αὖθις· τὸ γὰρ μὴ ἐρυθριᾶν ἐπὶ τοῖς εἰρημένοις πάσης ἰταμότητος καὶ ἀναισχυντίας. ὁ αὐτὸς μένων ἐπὶ τὸ χρῶμα οὐκ ἐρυθριᾷ. καὶ Ἰταμώτατα.

ι 737 Ἴτε: δεῦτε, ἢ ἀπέλθετε. Σοφοκλῆς· ἴτε, ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες.

ι 738 Ἰτέα, ἀφ' ἧς ὁ δημότης Ἰτεαῖος.

ι 739 Ἰτεαῖς: δῆμος τῆς Ἀκαμαντίδος.

ι 740 Ἰτέον: πορευτέον.

ι 741 Ἴτην: ἐπορεύθησαν.

ι 742 Ἴτης: ἰταμός, σκληρός, τολμηρός, καὶ δι' αὐτῶν τῶν χωρῶν τῶν πραγμάτων. παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις.

ι 743 Ἴτης: ὁ ὁρμητικός.

ι 744 Ἰτητέον· παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις· ἰτητέον· τί ταῦτ' ἔχων στρατεύομαι;

ι 745 Ἰτρία: καπυρώδη πλάσματα. τὰ δ' ἄλλ' ἐστὶ παρεσκευασμένα, τράπεζαι, προσκεφάλαια, στρώματα, στέφος, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα, ἄμυλοι, πλακοῦντες, ἰτρία, ὀρχηστρίδες. ἀλλ' ὡς τάχιστα σπεῦδε.

ι 746 Ἰτρόγαλα.

ι 747 Ἴτρον: τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ οὗ καὶ ἴτρα· καὶ μίτρα, ἡ περὶ αὐτὴν ζώνη.

ι 748 Ἴτω: ἰέτω, ἐρχέσθω. ἀλλ' ἴτω, χαιρέτω, γῆν πρὸ γῆς, ὅποι βούλοιτο.

ι 749 Ἰτώνη καὶ Ἰτωνία, ἡ Ἄρτεμις.

ι 750 Ἰτωνίς, Ἰτωνίδος: χώρα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 751 Ἰτυκαῖος χώρα. τῶν Ἰτυκαίων.

ι 752 Ἰτύλος: ὀρφανός.

ι 753 Ἰτυμονῆα: τὸν Ἰτυμονέα.

ι 754 Ἴτυξ: ὄρνεον.

ι 755 Ἴτυς: περιφέρεια ὅπλου. Ξενοφῶν· ὁ δὲ Καλλίμαχος, ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος. ἐν δὲ τούτῳ παραθεῖ αὐτοὺς Ἀριστώνυμος. καὶ ἐν Ἐπιγράμμασι· γυρῶν τ’ ἀγκίστρων καμπυλόεσσαν ἴτυν.

ι 756 Ἴτυς. ἀσπὶς γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ ὀμφαλόν· ἀλλ’ ἀρετᾷ λάμπομαι, αἷς ἔκιχον. καὶ αὖθις· ἀλλ’ ὄλετ’ ἀμφ’ ἑτάρῳ ἐχὼν κυκλόεσσαν ἴτυν.

ι 757 Ἰτύς, Ἰτέα.

ι 758 Ἴϋγγες: λεπτοὶ πόροι, καὶ αἱ τέρψεις.

ι 759 Ἴϋγξ, Ἠχοῦς ἢ Πειθοῦς θυγάτηρ, ἱερονίκης καὶ Ἀφροδίτης· καταφαρμάττουσα δὲ τὸν Δία ἐπὶ τοιούτοις ἀπελιθώθη ὑπὸ Ἥρας. καλεῖται δὲ ὑπ’ ἐνίων κιναίδιον. ἔστι δὲ καὶ ὀργάνιόν τι ἴϋγξ καλούμενον, ὅπερ εἰώθασιν αἱ φαρμακίδες στρέφειν, ὡς κατακηλούμεναι τοὺς ἀγαπωμένους. ἔστι δὲ καὶ ὄρνεόν τι, ᾧ πρόσειται τὴν αὐτὴν δύναμιν ἔχειν. ὅθεν δεσμεύουσι τοῖς τροχίσκοις.

ι 760 Ἴϋγξ: τὸ ὄρνεον, τὸ λεγόμενον σεισοπυγής.

ι 761 Ἴϋγξ: τὸ ἐφέλκον τὴν διάνοιαν εἰς ἐπιθυμίαν καὶ ἔρωτα. ἐν Ἐπιγράμμασι· ἴϋγξ, ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἄνδρα καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη. δεῖ δή σε νυνὶ γενέσθαι δεινήν, ἀγαθήν, φαύλην, σεμνήν, ἀγανήν, πολύπειρον· ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴϋγγι κοινῇ πάντ’ ἐπέτρεψαν. ἀντὶ τοῦ τῷ σῷ πόθῳ, τῇ σῇ θελήσει. οἱ δέ, ὅτι ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας, ἥν φασιν Ἠχοῦς εἶναι θυγατέρα, ἔνιοι δὲ Πειθοῦς. καὶ Ἴϋγξιν. ἡ δὲ Κλεοπάτρα ᾤετο ταῖς αὐταῖς ἴϋγξιν, αἷσπερ οὖν Καίσαρος καὶ Ἀντωνίου, καὶ μέντοι καὶ τοῦ Σεβαστοῦ κρατήσειν τρίτου. καὶ αὖθις· τοιαύτη τις προσῆν ἴϋγξ Διογένους τοῖς λόγοις τοῦ Κυνός.

ι 762 Ἰϋγμός: βοή, φωνή.

ι 763 Ἰΰζει: βοᾷ, κράζει.

ι 764 Ἶφι: ἰσχυρῶς. ἡ εἰς φι συλλαβὴ κατὰ πᾶσαν πτῶσιν φυλάττεται. εὐθείᾳ· ὁδὸς δ’ ἑτέρηφι. γενικῇ· ἀπὸ χαλκόφι. δοτικῇ· παραφροσύνηφι. αἰτιατικῇ· ἐπὶ δεξιόφι. κλητικῇ· οὐρανίαφι λίγαινε. τὸ δὲ νόσφι καὶ ἶφι μόνα μετέπεσον εἰς ἐπιρρηματικὴν σύνταξιν.

ι 765 Ἰφιάλου: τοῦ ἐφιάλτου.

ι 766 Ἴφια μῆλα: ἰσχυρῶς βαδίζοντα. Ἴφιον γὰρ τὸ λιπαρόν.

ι 767 Ἰφιγένεια: ὄνομα κύριον.

ι 768 Ἰφικλῆς: ὄνομα κύριον.

ι 769 Ἴφικλος: ὄνομα κύριον. ἰφίκωλός τις ὤν. ἱστορεῖται γὰρ ταχύτατος εἶναι.

ι 770 Ἰφικρατίδες: εἶδος ὑποδήματος, ἀπὸ Ἰφικράτους. Δαμάσκιος ἐν Φιλοσόφῳ ἱστορίᾳ· εἴποτε δὲ τὰς Ἀττικὰς Ἰφικρατίδας ἢ τὰ συνήθη σάνδαλα περιδεδεμένος περιενόστει.

ι 771 Ἰφικρατίδης: ὄνομα κύριον.

ι 772 Ἰφικράτης, σκυτέως πατρός, Ἀθηναῖος, ῥήτωρ καὶ στρατηγός· ὃς πρῶτος ἐν τοῖς λαφύροις τὸ ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

ι 773 Ἰφίνοος: ὄνομα κύριον.

ι 774 Ἶφις, Ἴφιδος: ὄνομα κύριον. ἢ ὁ ταχύς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι 775 Ἰφίστιος: ὄνομα κύριον.

ι 776 Ἴφιτος: ὄνομα κύριον.

ι 777 Ἰφθίμη: ἰσχυρά. καὶ Ἴφθιμος, ἰσχυρός. καὶ Ἰφθιμότατος.

ι 778 Ἰφύη: εἶδος ἀγρίου λαχάνου. Ἀριστοφάνης· ἐγὼ δὲ Μενέλεων ὅσον ἐκ τῶν ἰφύων.

ι 779 Ἰφύς: ὀφρύς.

ι 780 Ἰχθυάᾳ: ἰχθῦς ἀγρεύει. καὶ παροιμία· Ἰχθῦν νήχεσθαι διδάσκεις. ἐπὶ τῶν διδασκόντων ἃ ἐπίστανται.

ι 781 Ἰχθυοβολεὺς καὶ Ἰχθυουλκός: ὁ ἁλιεύς.

ι 782 Ἰχθυόκεντρον: ἡ τρίαινα.

ι 783 Ἰχθῦς: περισπᾶται. ὅτι Αἴσωπος, ὁ Μιθριδάτου ἀναγνώστης, ἔγραψε περὶ Ἑλένης, ἐν ᾧ φησι Πᾶνα ἰχθῦν καλεῖσθαι κητώδη· ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται. ποιεῖ δὲ πρὸς φίλτρα.

ι 784 Ἴχλα: ἡ κίχλα.

ι 785 Ἰχναίη: ἡ Μακεδονία.

ι 786 Ἰχνᾶται: ἰχνοσκοπεῖ.

ι 787 Ἰχνεύει: ἐρευνᾷ, ζητεῖ.

ι 788 Ἰχνεύμονος: εἶδος ζῴου καὶ ἰχθύος.

ι 789 Ἴχνη· ὅτι τοὺς κατὰ σάρκα προγόνους τοῦ Χριστοῦ ἀντάλλαγμα καὶ ἴχνη ἐκάλεσαν οἱ ο′ ἑρμηνευταί.

ι 790 Ἰχνηλατῆσαι: κατ’ ἴχνος ἀναζητῆσαι.

ι 791 Ἴχνια: σημεῖα ποδός.

ι 792 Ἰχνᾶται: ἰχνοσκοπεῖ.

ι 793 Ἴχνος: ὁδόν, πορείαν, βῆμα.

ι 794 Ἰχώρ, ἰχῶρος: τὸ πεπηγὸς αἷμα.

ι 795 Ἴψ: ὁ σκώληξ· καὶ κλίνεται ἰπός. καὶ τὸ πληθυντικὸν ἰψί.

ι 796 Ἴψω: ἔβλαψας. μέγα δ’ ἴψαο λαὸν Ἀχαιῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org